ἀκρίτως ἀπέκτεινε, τοὺς δὲ λοιποὺς ὑπερόριον ἑαυτοῖς
without-trial killed the and rest beyond-the-borders on-themselves
φυγὴν ἠνάγκασεν ἐπιθεῖναι. καὶ ἡ μὲν ἐκ τῆς κατὰ
exile he-compelled to-impose and the indeed from the concerning

Θεόδωρον αἰτίας συμβᾶσα ταῖς πόλεσι συμφορὰ ταύτην
Theodorus cause having-befallen the cities calamity this
ἔσχε τὴν τελευτήν.
had the end
Οὐαλεντινιανὸς δὲ δόξας πως τὸν πρὸς τοὺς Γερμανοὺς 16.1
Valentinian and having-seemed somehow the against the Germans
πόλεμον διατιθέναι μετρίως, βαρύτατος ἦν ταῖς ἀπαιτήσεσι
war to-settle moderately most-oppressive was in-the demands
τῶν εἰσφορῶν σφοδρότερον ἐπικείμενος καὶ ὑπὲρ τὸ
of-the taxes more-vehemently pressing and beyond the
σύνηθες ταύτας εἰσπράττων. ἐποιεῖτο δὲ τούτου πρόφασιν
customary these exacting he-made and of-this pretext
τῆς στρατιωτικῆς δαπάνης τὸ πλῆθος, ὅπερ ἠνάγκασεν
of-the military expense the magnitude which compelled
αὐτὸν ἐκδαπανῆσαι τὰ τῷ δημοσίῳ φυλαττόμενα χρήματα.
him to-spend-out the for-the treasury kept money
εἰς μῖσος τοίνυν ἅπαντας ἐπὶ τούτῳ κινήσας ἔτι μεῖζον 16.2
into hatred therefore all by this having-moved still greater
ἢ πρότερον ἐπικραίνετο, καὶ οὔτε τοὺς ἄρχοντας ἤθελεν
than before he-grew-harsh and neither the officials did-he-wish
ἐξετάζειν εἰ κέρδους ἀπέχονται, τοῖς τε ἐκ τοῦ ζῆν
to-examine whether from-gain they-abstain the(-ones) and from the to-live
ἀμέμπτως ἔχουσι δόξαν ἐφθόνει, καὶ ἁπλῶς εἰπεῖν ἕτερός
blamelessly having reputation he-envied and simply to-say other
τις ἦν παρὰ τὸν ἐξ ἀρχῆς ἐπιτηδευθέντα τρόπον αὐτῷ
some he-was beside the from beginning practiced manner to-him
τῆς βασιλείας.
of-the reign
διὰ ταῦτα καὶ Λίβυες, οὐκ ἐνεγκόντες τὴν Ῥωμανοῦ 16.3
because-of these-things also Libyans not having-borne the of-Romanus
πλεονεξίαν τοῦ τὴν στρατιωτικὴν ἔχοντος ἐν
greed of-the(-man) the military holding among

Μαυρουσίοις ἀρχήν, Φίρμῳ τὴν ἁλουργίδα δόντες
Moors command to-Firmus the purple having-given
ἀνέδειξαν βασιλέα. ὅπερ ἀπαγγελθὲν εἰκότως
proclaimed(-him) emperor which having-been-reported naturally
Βαλεντινιανὸν συνετάραξεν· καὶ παραχρῆμα τάγματά
Valentinian threw-into-confusion and immediately units
τινα στρατιωτικὰ τὴν ἐν Παιονίᾳ καὶ Μυσίᾳ τῇ ἄνω
some military the in Paeonia and Moesia the upper
καταλιπόντα φυλακὴν ἐπὶ Λιβύην ἐκπλεῦσαι προσέταξε.
having-left guard to Libya to-sail be-ordered
16.4 τούτου δὴ γενομένου Σαυρομάται καὶ Κουάδοι,
this indeed having-happened Sauromatae and Quadi
καὶ πρότερον ὄντες ἔγκοτοι τῷ τὴν ἐν τούτοις
also before being resentful toward-the(-man) the in these
ἐπιτετραμμένῳ τοῖς τόποις φυλακὴν (ἦν δὲ Κελέστιος), μετὰ
entrusted-with the places guard was and Celestius after
τὴν τῶν στρατιωτῶν εἰς Λιβύην ἀποδημίαν ἐπέθεντο Παίοσί
the of-the soldiers into Libya departure attacked Paeonians
τε καὶ Μυσοῖς· τοῦ γὰρ Κελεστίου τὸν τούτων ἄρχοντα
both and Moesians — for Celestius the of-these ruler
πίστεσιν ἐνόρκοις παραγαγόντος, ἀνελόντος τε δόλῳ
by-pledges sworn having-led-on having-killed and by-treachery
τῆς τραπέζης ἔτι προκειμένης, εἰκότως οἱ βάρβαροι τῆς
the table still being-set-out naturally the barbarians of-the
ἐφόδου ταύτην ἔχοντες πρόφασιν τοὺς περὶ τὸν Ἴστρον
attack this having pretext the(-places) about the Ister
ἐλῄζοντο, πᾶν, εἴ τι τῶν πόλεων ἦν ἐκτός, διαρπάζοντες.
plundered all if anything of-the cities was outside plundering
16.5 ἀλλὰ Παίονες μὲν εἰς ἁρπαγὴν τοῖς βαρβάροις προέκειντο,
but Paeonians indeed for plunder to-the barbarians lay-exposed
τῶν στρατιωτῶν ἐκμελῶς πρὸς τὸ φυλάττειν τὰς πόλεις
the soldiers carelessly toward the to-guard the cities

ἐχόντων καὶ τοῖς ἐνδοτέρω τοῦ ποταμοῦ τόποις οὐχ
being and to-the farther-within of-the river places not
ἧττον ἢ οἱ βάρβαροι παρενοχλούντων·
less than the barbarians troubling
Μυσία δὲ οὐδενὸς ἐπειράθη κακοῦ, Θεοδοσίου τοῦ τὴν 16.6
Moesia and no experienced evil Theodosius the(-one) the
στρατιωτικὴν ἀρχὴν ἔχοντος ἀνδρείως στάντος καὶ τοὺς
military command holding bravely having-stood and the(-ones)
ἐπιόντας ἀποδιώξαντος, ὅθεν ἐκ ταύτης τῆς νίκης δόξαν
attacking having-driven-off whence from this the victory glory
κτησάμενος ἔτυχε μετὰ ταῦτα τῆς βασιλείας. ἀλλὰ
having-acquired he-obtained after these-things the rule but
ταῦτα μὲν ἐν τοῖς οἰκείοις ἀφηγηθήσεται χρόνοις·
these-things indeed in the proper will-be-narrated times
Οὐαλεντινιανὸς δὲ τὴν ἀκοὴν τῶν ἀπαγγελθέντων 17.1
Valentinian and the report of-the(-things) announced
οὐκ ἐνεγκών, ἐκ Κελτῶν ὁρμήσας ἐπὶ τὴν Ἰλλυρίδα
not having-borne from Celts having-set-out to — Illyricum
διέβαινε, βουλευόμενος περὶ τοῦ πρὸς Κουάδους καὶ
crossed deliberating about the against Quadi and
Σαυρομάτας πολέμου. Μεροβαύδην δέ, στρατιωτικῶν
Sauromatae war Merobaudes and of-military
ἔργων ἐμπειρίαν ἔχειν παρὰ τοὺς ἄλλους δοκοῦντα,
works experience to-have beyond the others seeming
παντὸς τοῦ στρατοπέδου προΐστησι.
of-all the army he-sets-over
τοῦ δὲ χειμῶνος παρὰ τὸ εἰωθὸς ἐκταθέντος, ἔστελλον 17.2
the and winter beyond the custom having-been-prolonged sent
πρὸς αὐτὸν οἱ Κουάδοι πρεσβείας λόγους ὑπὲρ τὸ μέτρον
to him the Quadi embassies words beyond the measure
φέροντας, ἐφ' οἷς Οὐαλεντινιανὸς ἀγανακτήσας, καὶ ὑπὸ
bearing at which Valentinian having-been-indignant and by

τῆς ἄγαν ὀργῆς παραφορᾶς οὐ πόρρω γενόμενος, αἵματος
the excessive anger derangement not far having-come blood
κάτωθεν ἀναχθέντος ἐπὶ τὸ στόμα συσχόντος τε
from-below having-been-brought-up to the mouth having-closed and
τὰς τῆς φωνῆς ἀρτηρίας ἐξέλιπεν, ἐν μὲν Ἰλλυριοῖς
the of-the voice windpipes he-died in indeed Illyricum
ἐννέα μῆνας, ἐλλειπουσῶν ὀλίγων ἡμερῶν, διατρίψας, εἰς
nine months lacking few days having-spent into
δωδέκατον δὲ ἐνιαυτὸν τῆς βασιλείας προελθών.
twelfth and year of-the reign having-advanced

18.1 Τούτου τελευτήσαντος ἐμπεσὼν τῷ Σιρμίῳ σκηπτὸς τὰ
this-man having-died having-fallen-on — Sirmium thunderbolt the
βασίλεια κατέφλεξε καὶ τὴν ἀγοράν, ἔδοξέ τε τοῖς τὰ
palace burned-up and the marketplace it-seemed both to-the the
τοιαῦτα κρίνειν δεινοῖς οὐκ αἴσιον τοῖς κοινοῖς πράγμασιν
such-things to-judge clever not auspicious for-the common affairs
εἶναι τὸ τέρας. καὶ σεισμοὶ δὲ ἔν τισι συνηνέχθησαν τόποις.
to-be the portent and earthquakes too in some occurred places

18.2 ἐσείσθη δὲ καὶ Κρήτη σφοδρότερον, καὶ ἡ Πελοπόννησος
was-shaken and also Crete more-violently and the Peloponnese
μετὰ τῆς ἄλλης Ἑλλάδος, ὥστε καὶ τὰς πολλὰς διαρρυῆναι
with the other Greece so-that also the many to-fall-apart
τῶν πόλεων, πλὴν τῆς Ἀθηναίων πόλεως καὶ τῆς Ἀττικῆς.
of-the cities except the of-Athenians city and — Attica
ταύτην δὲ καὶ περισωθῆναί φασιν ἐξ αἰτίας τοιᾶσδε.
this and also to-have-been-saved they-say from cause such
Νεστόριος ἐν ἐκείνοις τοῖς χρόνοις ἱεροφαντεῖν τεταγμένος
Nestorius in those the times to-be-hierophant appointed
ὄναρ ἐθεάσατο παρακελευόμενον χρῆναι τὸν Ἀχιλλέα
a-dream saw bidding it-was-needful — Achilles

τὸν ἥρωα δημοσίαις τιμᾶσθαι τιμαῖς· ἔσεσθαι γὰρ τοῦτο
the hero with-public to-be-honored honors to-be for this
τῇ πόλει σωτήριον.
for-the city saving
ἐπεὶ δὲ ἐκοινώσατο τοῖς ἐν τέλει τὴν ὄψιν, οἳ δὲ 18.3
since and he-shared with-the(-ones) in office the vision they and
ληρεῖν αὐτὸν οἷα δὴ ὑπέργηρων ὄντα νομίσαντες
to-talk-nonsense him as indeed very-old being having-thought
ἐν οὐδενὶ τὸ ῥηθὲν ἐποιήσαντο, αὐτὸς καθ' ἑαυτὸν
in nothing the(-thing) said made be-himself by himself
λογισάμενος τὸ πρακτέον καὶ ταῖς θεοειδέσιν ἐννοίαις
having-reckoned the to-be-done and by-the god-like thoughts
παιδαγωγούμενος, εἰκόνα τοῦ ἥρωος ἐν οἴκῳ μικρῷ
being-guided an-image of-the hero in shrine small
δημιουργήσας ὑπέθηκε τῷ ἐν Παρθενῶνι καθιδρυμένῳ
having-made placed(-it) under-the in Parthenon set-up
τῆς Ἀθηνᾶς ἀγάλματι, τελῶν δὲ τῇ θεῷ τὰ συνήθη
— of-Athena statue performing and to-the goddess the customary(-rites)
κατὰ ταὐτὸν καὶ τῷ ἥρωϊ τὰ ἐγνωσμένα οἱ
at the-same(-time) also to-the hero the(-rites) determined for-him
κατὰ θεσμὸν ἔπραττε.
according-to ordinance he-did
τούτῳ τε τῷ τρόπῳ τῆς τοῦ ἐνυπνίου συμβουλῆς ἔργῳ 18.4
in-this and the way of-the of-the dream counsel by-deed
πληρωθείσης, ἐπιβρίσαντος τοῦ σεισμοῦ μόνους Ἀθηναίους
having-been-fulfilled having-pressed-down the earthquake alone Athenians
περισωθῆναι συνέβη, μετασχούσης τῶν τοῦ ἥρωος
to-be-saved it-happened having-shared of-the of-the hero
εὐεργεσιῶν καὶ πάσης τῆς Ἀττικῆς. ὅτι δὲ τοῦτο ἀληθές
benefactions also all — Attica that and this true
ἐστι, μαθεῖν ἔξεστι δι' ὧν ὁ φιλόσοφος Συριανὸς
is to-learn it-is-possible through what the philosopher Syrianus

διεξῆλθεν, ὕμνον εἰς τοῦτον τὸν ἥρωα γράφων. ἀλλὰ ταῦτα
related a-hymn to this the hero writing but these-things
οὐκ ἀνάρμοστα τοῖς προκειμένοις ὄντα παρέθηκα.
not unfitting to-the(-things) set-out being I-have-set-beside

19.1 Οὐαλεντινιανοῦ δὲ τελευτήσαντος ὁρῶντες οἱ ταξίαρχοι
Valentinian and having-died seeing the commanders
Μεροβαύδης καὶ Ἐκίτιος Οὐάλεντα καὶ Γρατιανὸν πόρρω
Merobaudes and Equitius Valens and Gratian far
που διατρίβοντας (ὃ μὲν γὰρ ἔτι κατὰ τὴν ἑῴαν ἦν,
somewhere staying the-one indeed for still in the east was
ὃ δὲ ἐν τοῖς ἑσπερίοις Γαλάταις παρὰ τοῦ πατρὸς
the-other and among the western Gauls by the father
ἀπολελειμμένος), ὑφορώμενοι μή ποτε συμβῇ τοὺς ὑπὲρ
left suspecting lest ever it-should-happen the beyond
τὸν Ἴστρον βαρβάρους ἀνάρχοις ἐπιπεσεῖν τοῖς πράγμασι,
the Ister barbarians leaderless to-fall-upon the affairs
παῖδα Οὐαλεντινιανοῦ νέον, ἐκ γαμετῆς αὐτῷ τεχθέντα τῆς
a-son of-Valentinian young from wife to-him born the
πρότερον Μαγνεντίῳ συνοικησάσης, οὐ πόρρω που μετὰ
before with-Magnentius having-lived not far somewhere with
τῆς μητρὸς ὄντα μεταπεμψάμενοι παράγουσι μετὰ τῆς
the mother being having-summoned they-lead with the
ἁλουργίδος εἰς τὰ βασίλεια, πέμπτον ἄγοντα μόλις ἐνιαυτόν.
purple into the palace fifth passing scarcely year

19.2 διελομένων δὲ πρὸς ἑαυτοὺς Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ
having-divided and among themselves Gratian and Valentinian
τοῦ νέου τὴν βασιλείαν, ὡς ἐδόκει τοῖς περὶ
the young the rule as it-seemed-good to-the(-ones) about
αὐτοὺς τὰ πράγματα κρίνουσιν (αὐτοὶ γὰρ οἱ βασιλεῖς
them the affairs judging themselves for the emperors
οὐκ ἦσαν κύριοι διὰ τὴν ἡλικίαν), Γρατιανῷ μὲν τὰ
not were masters because-of the age to-Gratian indeed the

Κελτικὰ φῦλα καὶ Ἰβηρία πᾶσα καὶ ἡ Βρεττανικὴ νῆσος
Celtic tribes and Iberia all and the British island
ἀπεκληροῦτο, Οὐαλεντινιανὸν δὲ ἐδόκει τὴν Ἰταλίαν
were-allotted Valentinian and it-seemed-good — Italy
τε καὶ Ἰλλυριοὺς καὶ τὴν ὅλην ἔχειν Λιβύην.
both and Illyrians and the whole to-hold Libya

III · THE HUNS, AND ADRIANOPLE

Isaurians raid Lycia and Pamphylia while Valens stays at Antioch. Then the Huns, a people unknown before, drive the Scythians across the Ister; Valens admits them unarmed, but the officers let most cross armed, and they plunder Thrace, Paeonia, Macedonia, and Thessaly. As Valens marches from Constantinople an omen appears, a flogged body lying motionless and silent on the road. Saracen horsemen sally from the city and drive the raiders from its environs. Sebastianus, made general, trains two thousand picked men and destroys band after band of foragers; but envy at court turns Valens against him, and, against his advice to wear the enemy down, the emperor leads out his whole army, is defeated, and is burned in the village where he took refuge. Gratian chooses Theodosius, a Spaniard, as his partner and sets him over Thrace and the east.

Οὐάλεντα δὲ τὸν βασιλέα πολλαὶ πολλαχόθεν περιειστήκεσαν 20.1
Valens and the emperor many from-many-sides had-beset
πολέμων ἐπιφοραί. καὶ πρῶτον μὲν Ἴσαυροι (καλοῦσι δὲ
of-wars onsets and first indeed Isaurians call and
αὐτοὺς οἱ μὲν Πισίδας, οἱ δὲ Σολύμους, ἄλλοι δὲ Κίλικας
them some indeed Pisidians others and Solymi others and Cilicians
ὀρείους· τὸ δὲ ἀκριβέστερον, ἡνίκα εἰς τοὺς περὶ αὐτῶν
mountain the and more-exact(-account) when to the about them
ἀφικώμεθα λόγους, δηλώσομεν) τὰς ἐν Λυκίᾳ καὶ Παμφυλίᾳ
we-come words we-will-show the in Lycia and Pamphylia

πόλεις ἐπόρθουν, τειχῶν μὲν κρατεῖν οὐ δυνάμενοι, τὰ
cities ravaged walls indeed to-master not being-able the(-things)
δὲ ἐν τοῖς ὑπαίθροις ἅπαντα διαρπάζοντες.
and in the open-country all plundering

20.2 ἐπεὶ δὲ ὁ βασιλεὺς ἔτι κατὰ τὴν Ἀντιόχειαν διατρίβων
since and the emperor still in — Antioch staying
ἔστελλεν ἐπ᾽ αὐτοὺς ἀρκοῦσαν, ὡς ᾤετο, δύναμιν, οἱ
sent against them sufficient as he-thought force the
μὲν Ἴσαυροι μετὰ τῆς λείας ἁπάσης εἰς τὰ τραχύτατα
indeed Isaurians with the booty all into the most-rugged
συνέφευγον τῶν ὀρῶν, οὔτε διῶξαι τῶν στρατιωτῶν
fled-together of-the mountains neither to-pursue the soldiers
δι᾽ ἐκμέλειαν δυναμένων, οὔτε ἄλλως τὰ συμβάντα
because-of carelessness being-able nor otherwise the having-befallen
ταῖς πόλεσι δυστυχήματα θεραπεῦσαι.
the cities misfortunes to-remedy

20.3 τούτων δὲ ὄντων ἐν τούτοις, φῦλόν τι βάρβαρον τοῖς
these-things and being in these a-tribe some barbarian upon-the
ὑπὲρ τὸν Ἴστρον Σκυθικοῖς ἔθνεσιν ἐπανέστη, πρότερον
beyond the Ister Scythian peoples rose-up before
μὲν οὐκ ἐγνωσμένον, τότε δὲ ἐξαίφνης ἀναφανέν. Οὔννους
indeed not known then and suddenly having-appeared Huns
δὲ τούτους ἐκάλουν, εἴτε βασιλείους αὐτοὺς ὀνομάζειν
and these they-called whether royal them to-name
προσήκει Σκύθας, εἴτε οὓς Ἡρόδοτός φησι παροικεῖν τὸν
it-is-fitting Scythians or whom Herodotus says to-dwell-beside the
Ἴστρον σιμοὺς καὶ ἀσθενέας ἀνθρώπους, εἴτε ἐκ τῆς
Ister snub-nosed and weak men or from —
Ἀσίας εἰς τὴν Εὐρώπην διέβησαν· καὶ τοῦτο γὰρ εὗρον
Asia into — Europe they-crossed also this for I-found
ἱστορημένον, ὡς ἐκ τῆς ὑπὸ τοῦ Τανάϊδος καταφερομένης
recorded that from the by the Tanais carried-down

ἰλύος ὁ Κιμμέριος ἀπογαιωθεὶς Βόσπορος ἐνέδωκεν αὐτοῖς
silt the Cimmerian having-become-land Bosporus allowed them
ἐκ τῆς Ἀσίας ἐπὶ τὴν Εὐρώπην πεζῇ διαβῆναι.
from — Asia to — Europe on-foot to-cross
παρελθόντες δὲ ὅμως τοῖς ἵπποις καὶ γυναιξὶ καὶ παισὶ 20.4
having-come and nevertheless with-the horses and wives and children
καὶ οἷς ἐπεφέροντο, τοῖς ὑπὲρ τὸν Ἴστρον κατῳκημένοις
and what they-carried-with(-them) the beyond the Ister settled
ἐπῄεσαν Σκύθαις, μάχην μὲν σταδίαν οὔτε δυνάμενοι τὸ
attacked Scythians battle indeed pitched neither being-able at
παράπαν οὔτε εἰδότες ἐπαγαγεῖν (πῶς γὰρ οἱ μήτε εἰς
all nor knowing-how to-bring-on how for the(-ones) neither on
γῆν πῆξαι τοὺς πόδας οἷοί τε ὄντες ἑδραίως, ἀλλ᾽ ἐπὶ τῶν
earth to-fix the feet able — being firmly but on the
ἵππων καὶ διαιτώμενοι καὶ καθεύδοντες), περιελάσεσι δὲ
horses both living and sleeping by-wheelings and
καὶ ἐκδρομαῖς καὶ εὐκαίροις ἀναχωρήσεσιν, ἐκ τῶν ἵππων
and by-sallies and by-timely retreats from the horses
κατατοξεύοντες, ἄπειρον τῶν Σκυθῶν εἰργάσαντο φόνον.
shooting-down countless of-the Scythians wrought slaughter
τοῦτο συνεχῶς ποιοῦντες εἰς τοῦτο τὸ Σκυθικὸν 20.5
this continually doing into this the Scythian(-race)
περιέστησαν τύχης ὥστε τοὺς περιλελειμμένους, ὧν
they-brought of-fortune that the(-ones) left from-what
εἶχον ἐκστάντας οἰκήσεων, ἐνδοῦναι μὲν τοῖς Οὔννοις
they-held having-departed dwellings to-yield indeed to-the Huns
ταύτας οἰκεῖν, αὐτοὶ δὲ φεύγοντες ἐπὶ τὴν ἀντιπέρας
these to-inhabit themselves and fleeing to the opposite
ὄχθην διαβῆναι τοῦ Ἴστρου, καὶ τὰς χεῖρας ἀνατείναντες
bank to-cross of-the Ister and the hands having-stretched-out

ἱκετεύειν δεχθῆναι παρὰ βασιλέως, ὑπισχνεῖσθαί τε
to-supplicate to-be-received by the-emperor to-promise both
πληρώσειν ἔργον αὐτῷ συμμάχων πιστῶν καὶ βεβαίων.
to-fulfill the-work for-him of-allies faithful and steadfast
20.6 τῶν δὲ τὰς ἐπὶ τοῦ Ἴστρου πόλεις φρουρεῖν τεταγμένων
the(-ones) and the on the Ister cities to-guard appointed
εἰς τὴν τοῦ βασιλεύοντος γνώμην ἀναβαλλομένων τὰ
to the of-the reigning(-emperor) judgment referring the(-affairs)
περὶ τούτου, δέχεσθαι τούτους Οὐάλης ἐπέτρεπε πρότερον
about this to-receive these Valens permitted first
ἀποθεμένους τὰ ὅπλα. τῶν δὲ ταξιάρχων, καὶ ὅσοι
having-laid-down the arms the and commanders and as-many-as
στρατιωτῶν ἡγεμονίαν εἶχον, διαβάντων μὲν ἐφ' ᾧτε
of-soldiers command held having-crossed indeed on condition-that
ὅπλων δίχα τοὺς βαρβάρους ἐπὶ τὰ Ῥωμαίων ὅρια
arms without the barbarians to the of-Romans borders
παραπέμψαι, μηδενὸς δὲ γενομένων ἑτέρου πλὴν
to-escort nothing and having-been(-intent-on) else except
γυναικῶν εὐπροσώπων ἐπιλογῆς καὶ παίδων ὡραίων εἰς
of-women fair-faced selection and of-boys in-their-prime for
αἰσχρότητα θήρας ἢ οἰκετῶν ἢ γεωργῶν κτήσεως, οἷς
shamelessness hunting or of-slaves or of-farmers acquisition to-which
τισὶ μόνοις προσσχόντες τῶν ἄλλων ὅσα πρὸς
certain(-things) alone having-attended of-the others as-many-as toward
κοινὸν ὄφελος ἔφερον ὑπερεῖδον, ὥστε ἀμέλει μετὰ τῶν
common benefit bore overlooked so-that doubtless with the
ὅπλων ἔλαθον οἱ πλείους περαιωθέντες.
arms escaped-notice the majority having-crossed
20.7 καὶ ἅμα τῆς ὑπὸ Ῥωμαίους γῆς ἐπιβάντες οὔτε ἱκεσιῶν
and at-once the under Romans land having-set-foot-on neither supplications
οὔτε ὅρκων ἐμνήσθησαν, ἀλλ' ἡ Θρᾴκη τε ἅπασα καὶ
nor oaths remembered but — Thrace both all and

ἡ Παιονία καὶ τὰ μέχρι Μακεδονίας καὶ Θετταλίας
— *Paeonia and the(-lands) up-to Macedonia and Thessaly*
ἐπληροῦντο βαρβάρων τὰ προσπεσόντα λῃζομένων.
were-filled with-barbarians the(-things) falling-in-the-way plundering
κινδύνου δὲ τοῖς ταύτῃ πράγμασιν ἐπικειμένου μεγίστου, 21.1
danger and to-the there affairs being-impending very-great
δραμόντες ἐπὶ βασιλέα τὸ συμβὰν ἀπαγγέλλουσιν.
having-run to the-emperor the(-thing) having-happened they-report
ὃ δὲ τὰ πρὸς Πέρσας ὡς ἐνῆν διαθέμενος, ἀπὸ τῆς
he and the(-affairs) toward Persians as was-possible having-settled from —
Ἀντιοχείας διαδραμὼν ἐπὶ τὴν Κωνσταντινούπολιν ᾔει,
Antioch having-run-through to — Constantinople went
κἀντεῦθεν ἐπὶ Θρᾴκης ἐχώρει, τὸν πρὸς τοὺς αὐτομόλους
and-from-there to Thrace advanced the against the deserting
Σκύθας ἀγωνισόμενος πόλεμον. ἐξιόντι δὲ τῷ στρατοπέδῳ
Scythians going-to-contend war going-out and to-the army
καὶ αὐτῷ δὲ τῷ βασιλεῖ τέρας ὤφθη τοιόνδε.
and to-the-very too the emperor a-portent was-seen such
ἀνθρώπου τι σκῆνος ἐφάνη κατὰ τὴν ὁδὸν κείμενον, τὸ 21.2
of-a-man some body appeared on the road lying the
μὲν ἄλλο ἅπαν ἀκίνητον καὶ ἀπὸ κεφαλῆς μεμαστιγωμένῳ
indeed other all motionless and from head to-one-flogged
ἄχρι ποδῶν ἐοικός, μόνους δὲ τοὺς ὀφθαλμοὺς ἀνεῳγμένους
to feet like alone and the eyes open
ἔχον, ἐμβλέποντας τοῖς πλησιάζουσιν. ἐπεὶ δὲ τοῖς
having looking-at the(-ones) approaching since and to-the(-ones)
ἐρωτῶσι τίς τε εἴη καὶ πόθεν, ἢ παρὰ τίνος ταῦτα
asking who both he-was and whence or by whom these-things
πάθοι, παντάπασιν οὐδὲν ἀπεκρίνατο, τερατῶδες εἶναι
he-had-suffered altogether nothing it-answered portentous to-be
νομίσαντες ἐπέδειξαν καὶ τῷ βασιλεῖ παρόντι. τοῦ δὲ τὰς
having-thought they-showed(-it) also to-the emperor present he and the

αὐτὰς πεύσεις προσαγαγόντος οὐδὲν ἧττον ἄφωνος ἦν,
same inquiries having-put not-at-all less voiceless was
οὔτε ζῆν νομισθεὶς διὰ τὸ πᾶν τὸ σῶμα ἀκίνητος εἶναι,
neither to-live thought because-of the whole the body motionless to-be
οὔτε τεθνάναι τελέως, ἐπειδὴ ἐρρῶσθαι τὸ βλέμμα ἐδόκει.
nor to-be-dead completely since to-be-strong the gaze seemed
21.3 *** γέγονεν ἀφανὲς ἄφνω τὸ τέρας. τῶν οὖν
(lacuna) became invisible suddenly the portent the(-ones) then
περιεστώτων περὶ τὸ πρακτέον ἀπορουμένων συνέβαλλον
standing-around about the to-be-done being-at-a-loss conjectured
οἱ τὰ τοιαῦτα ἐξηγεῖσθαι δεινοὶ τὴν ἐσομένην προμηνύειν
the the such-things to-interpret skilled the going-to-be to-foreshow
τῆς πολιτείας κατάστασιν, ὅτι τε πληττόμενα καὶ
of-the state condition that both being-struck and
μαστιγούμενα διατελέσει τὰ πράγματα, ψυχορραγοῦσιν
being-flogged will-continue the affairs to-the-dying
ἐοικότα, μέχρις ἂν τῇ τῶν ἀρχόντων καὶ ἐπιτροπευόντων
like until — by-the of-the officials and governors
κακίᾳ τελέως φθαρείη. τοῦτο μὲν οὖν, ἐπιόντων ἡμῶν
wickedness completely it-should-be-destroyed this indeed then going-through us
τὰ καθ' ἕκαστα, σὺν ἀληθείᾳ φανήσεται προαγορευθέν·
the(-things) in detail with truth will-appear foretold
22.1 ὁ δὲ βασιλεὺς Οὐάλης λῃζομένους ἤδη τὴν Θρᾴκην πᾶσαν
the and emperor Valens plundering already — Thrace all
τοὺς Σκύθας θεώμενος, ἔγνω τοὺς ἐκ τῆς ἑῴας σὺν αὐτῷ
the Scythians seeing resolved the(-ones) from the east with him
παραγενομένους καὶ μάχεσθαι μεθ' ἵππων ἐμπειροτάτους
having-come and to-fight with horses most-experienced
τῇ τῶν Σκυθῶν ἵππῳ πρότερον ἐπιπέμψαι.
upon-the of-the Scythians cavalry first to-send

λαβόντες οὖν οὗτοι παρὰ τοῦ βασιλέως τὸ σύνθημα 22.2
having-received then these from the emperor the signal
κατ᾽ ὀλίγους ἐκ τῶν τῆς Κωνσταντινουπόλεως πυλῶν
in few(-at-a-time) from the — of-Constantinople gates
ὑπεξῄεσαν, καὶ τοὺς ἐκλείποντας Σκυθῶν τοῖς κοντοῖς
went-out-secretly and the(-ones) straggling of-Scythians with-the lances
περονῶντες πολλῶν ἡμέρας ἑκάστης ἔφερον κεφαλάς. ἐπεὶ δὲ
piercing of-many every day brought heads since and
ἡ τῶν ἵππων ταχυτὴς καὶ ἡ τῶν κοντῶν ἐπιφορὰ δύσμαχος
the of-the horses speed and the of-the lances onset hard-to-fight
εἶναι τοῖς Σκύθαις ἐδόκει, καταστρατηγῆσαι τὸ Σαρακηνικὸν
to-be for-the Scythians seemed to-outgeneral the Saracen
διενοήθησαν φῦλον. ἐνέδραν τινὰ κοίλοις ἐναποκρύψαντες
they-planned tribe an-ambush some in-hollow having-hidden
τόποις τρεῖς ἑνὶ Σκύθας ἐπιέναι συνεῖδον Σαρακηνῷ.
places three against-one Scythians to-attack they-saw-fit Saracen
καὶ ταύτης δὲ διαμαρτόντες τῆς πείρας, τῶν Σαρακηνῶν 22.3
and this too having-failed-in the attempt the Saracens
διὰ τὸ τῶν σφετέρων ἵππων ταχὺ καὶ εὐάγωγον κατ᾽
because-of the of-the their-own horses swiftness and tractability at
ἐξουσίαν ἀποφευγόντων, ἡνίκα ἂν πλῆθος ἐπιὸν ἴδοιεν,
will escaping when — a-multitude attacking they-should-see
ἐπελαυνόντων δὲ σχολαίοις καὶ τοῖς κοντοῖς ἀναιρούντων,
riding-against(-them) and at-the-slow and with-the lances killing(-them)
τοσοῦτος ἐγένετο Σκυθῶν φόνος ὥστε ἀπαγορεύσαντας
so-great was of-Scythians slaughter that having-given-up
αὐτοὺς ἐθελῆσαι περαιωθῆναι τὸν Ἴστρον καὶ σφᾶς
them to-wish to-cross the Ister and themselves
ἐκδοῦναι τοῖς Οὔννοις μᾶλλον ἢ ὑπὸ Σαρακηνῶν
to-hand-over to-the Huns rather than by Saracens
πανωλεθρίᾳ διαφθαρῆναι. καταλιπόντων δὲ αὐτῶν τοὺς
with-utter-destruction to-be-destroyed having-left and them the

περὶ Κωνσταντίνου τὴν πόλιν τόπους καὶ πορρωτέρω
about Constantine's the city places and farther
προελθόντων, γέγονεν εὐρυχωρία τῷ βασιλεῖ παραγαγεῖν
having-advanced there-was free-space for-the emperor to-lead
εἰς τὸ πρόσω τὸ στράτευμα.
to the forward the army

22.4 Σκοπουμένῳ δὲ αὐτῷ τίνι δέοι τρόπῳ διαθεῖναι τὸν
considering and him in-what it-was-needful way to-settle the
πόλεμον πλήθους ἐπικειμένου τοσούτου βαρβάρων, καὶ ἅμα
war multitude pressing so-great of-barbarians and at-once
τῇ τῶν ἀρχόντων βαρυνομένῳ κακίᾳ, καὶ παραλῦσαι μὲν
by-the of-the officers being-burdened wickedness and to-dismiss indeed
αὐτοὺς διὰ τὸν περιέχοντα τὰ πράγματα σάλον ὀκνοῦντος,
them because-of the surrounding the affairs storm hesitating
ἀποροῦντος δὲ τίσι τὰς ἡγεμονίας παραδοῦναι προσήκει
being-at-a-loss and to-whom the commands to-hand-over it-is-fitting
μηδενὸς ἀξιόχρεω φαινομένου, καταλιπὼν Σευαστιανὸς τὴν
no-one worthy appearing having-left Sebastianus the
ἑσπέραν οἷα τῶν αὐτόθι βασιλέων διὰ νεότητα φρονεῖν
west as the there emperors because-of youth to-think
ταὐτὰ πρὸς ἑαυτοὺς οὐκ ἀνεχομένων, ἀλλὰ ἐκδόντων
the-same-things toward themselves not enduring but having-given-up
ἑαυτοὺς εὐνούχων ἐπὶ τῷ κοιτῶνι τεταγμένων διαβολαῖς,
themselves of-eunuchs over the bedchamber appointed to-the-slanders
εἰς τὴν Κωνσταντινούπολιν παρεγένετο.
to — Constantinople came

23.1 τοῦτο μαθὼν Οὐάλης, καὶ τὰς ἐν πολέμοις καὶ τῇ πάσῃ
this having-learned Valens and the in wars and in-the whole
πολιτείᾳ τοῦ ἀνδρὸς ἀρετὰς ἐπιστάμενος, αἱρεῖται στρατηγὸν
state of-the man virtues knowing chooses general
αὐτὸν καὶ τὴν ἡγεμονίαν τοῦ παντὸς πιστεύει πολέμου.
him and the command of-the whole entrusts war

ὃ δὲ πρὸς τὸ ἐκδεδιῃτημένον καὶ παντάπασιν ἐκμελὲς 23.2
he and to the dissolute and altogether careless
τῶν ταξιάρχων καὶ στρατιωτῶν ἀφορῶν, καὶ ὡς εἰς
of-the commanders and soldiers looking and that for
φυγὴν μόνον εἰσὶ γεγυμνασμένοι καὶ γυναικώδεις καὶ
flight only they-are trained and womanish and
ἀθλίας εὐχάς, δισχιλίους ᾔτησεν, οὓς ἂν ἕλοιτο, δοθῆναι
wretched prayers two-thousand asked whom — he-might-choose to-be-given
στρατιώτας αὐτῷ· πλήθους γὰρ ἡγεῖσθαι χαύνως ἠγμένων
soldiers to-him a-multitude for to-lead loosely brought-up
ἀνθρώπων μὴ ῥᾴδιον εἶναι, παιδαγωγῆσαι δὲ ὀλίγους καὶ
of-men not easy to-be to-train and few and
εἰς τὸ ἀρρενωπὸν ἐκ τοῦ θήλεος ἀναγαγεῖν οὐ σφόδρα
into the manly from the female to-lead-up not very
δύσκολον εἶναι, καὶ ἄλλως δὲ λυσιτελὲς μᾶλλον ἐν ὀλίγοις
difficult to-be and otherwise too profitable rather in few
ἢ παντὶ κινδυνεύειν τῷ πλήθει.
than in-all to-risk the multitude
πείθει ταῦτα λέγων τὸν βασιλέα, καὶ λαβὼν αἵρεσιν 23.3
persuades these-things saying the emperor and having-received choice
οὐκ ἐκ τῶν ἐντεθραμμένων δειλίᾳ καὶ πρὸς τὸ
not from the(-ones) brought-up in-cowardice and for the
φεύγειν γεγυμνασμένων οὓς ᾔτησεν εἵλετο, νεωστὶ δέ
to-flee trained whom he-asked he-chose recently and
τινας ἐναριθμηθέντας τῷ στρατοπέδῳ καὶ σώματος
some enrolled in-the army and of-body
ἀνατρέχοντας εὐφυΐᾳ καὶ προσέτι γε τῷ φύσιν
flourishing in-good-condition and besides at-least to-the(-one) nature
τεκμαίρεσθαι δυναμένῳ φαινομένους εἰς ὅπερ ᾑρέθησαν
to-judge able appearing for which-very they-were-chosen
ἱκανούς. αὐτόθεν οὖν ἑκάστου τῆς φύσεως ἐπειρᾶτο, καὶ
suitable at-once then of-each the nature he-tested and

τῇ συνεχεῖ γυμνασίᾳ τὸ ἐνδέον ἐπλήρου, πειθομένους
by-the continual training the lacking he-filled-up the-obedient
μὲν ἐπαινῶν καὶ δωρεαῖς ἀμειβόμενος, ἀπειθοῦσι δὲ
indeed praising and with-gifts rewarding to-the-disobedient and
σφοδρὸς καὶ ἀπαραίτητος εἶναι δοκῶν.
severe and inexorable to-be seeming

23.4 οὕτω δὲ τοὺς σὺν αὐτῷ πρὸς πᾶσαν πολεμικὴν ἐπιστήμην
thus and the(-ones) with him for all military knowledge
ἀσκήσας τὰς μὲν τειχήρεις κατελάμβανε πόλεις, τῆς
having-trained the indeed walled he-occupied cities of-the
ἀσφαλείας ὅτι μάλιστα τοῦ στρατοπέδου ποιούμενος λόγον,
safety as most of-the army making account
ἐνέδραις δὲ συνεχέσι τοῖς προνομεύουσι τῶν βαρβάρων
with-ambushes and continual the(-men) foraging of-the barbarians
ἐπῄει, καὶ νῦν μὲν τῷ πλήθει τῶν λαφύρων εὑρίσκων
attacked and now indeed by-the multitude of-the spoils finding(-them)
βαρυνομένους ἀνῄρει, τῆς λείας γενόμενος κύριος, νῦν δὲ
weighed-down he-killed(-them) of-the booty having-become master now and
μεθύοντας, ἄλλους δὲ τῷ ποταμῷ λουομένους ἀπέσφαζεν.
drunk others and in-the river bathing he-slaughtered

23.5 ὡς δὲ τὸ πολὺ τῶν βαρβάρων τοῖς τοιούτοις στρατηγήμασιν
as and the great of-the barbarians by-the such stratagems
ἐδαπάνησε μέρος, καὶ τὸ λειπόμενον δέει τοῦ στρατηγοῦ
he-had-consumed part and the remainder by-fear of-the general
τοῦ προνομεύειν ἀπέσχετο, φθόνος ἐξανίσταται κατ᾽ αὐτοῦ
from-the to-forage abstained envy rises against him
μέγιστος. οὗτος δὲ ἔτικτε μῖσος, ἐντεῦθέν τε διαβολαὶ
very-great this and bore hatred from-this and slanders
πρὸς τὸν βασιλέα, τῶν τοῦ ἄρχειν ἐκπεπτωκότων
to the emperor the(-ones) from-the to-command having-been-dismissed
τοὺς κατὰ τὴν αὐλὴν εὐνούχους παρορμώντων εἰς τοῦτο.
the at the court eunuchs urging to this

οὕτω δὴ τοῦ βασιλέως εἰς ἄλογον ὑποψίαν παρατραπέντος, 23.6
thus indeed the emperor into irrational suspicion having-been-turned
Σεβαστιανὸς μὲν ἐδήλου κατὰ χώραν μένειν τῷ βασιλεῖ καὶ
Sebastianus indeed advised in place to-remain to-the emperor and
μὴ περαιτέρω προβαίνειν· οὐδὲ γὰρ εἶναι ῥᾷστον πλήθει
not further to-advance not for to-be easiest against-a-multitude
τοσούτῳ πόλεμον ἐκ τοῦ προφανοῦς ἐπάγειν, ἀλλ᾽ ἐκ
so-great war from the open to-bring but from
περιδρομῆς καὶ λαθραίαις ἐπιθέσεσι τρίβειν τὸν χρόνον,
circuit and with-secret attacks to-wear-away the time
ἕως ἂν σπάνει τῶν ἐπιτηδείων ἀπειπόντες ἢ παραδοῖεν
until — by-scarcity of-the provisions having-given-out either they-should-surrender
αὑτούς, ἢ τῶν ὑπὸ Ῥωμαίους χωρίων ἀναχωρήσαιεν, τοῖς
themselves or from-the under Romans places should-withdraw to-the
Οὔννοις ἐκδιδόντες τὸ καθ᾽ ἑαυτοὺς μᾶλλον ἢ τοῖς
Huns giving-up the(-fate) concerning themselves rather than to-the
ἐκ τοῦ λιμοῦ συμβαίνειν εἰωθόσιν οἰκτροτάτοις ὀλέθροις.
from the famine to-befall accustomed most-pitiable destructions
ἀλλ᾽ ἐκείνου ταῦτα παραινοῦντος, οἱ τἀναντία 24.1
but him these-things advising the(-ones) the-opposite
σπουδάζοντες ἐξιέναι τὸν βασιλέα πανστρατιᾷ παρεκάλουν
being-eager to-go-out the emperor with-the-whole-army urged
ἐπὶ τὸν πόλεμον ὡς ἤδη τῶν βαρβάρων ὡς ἐπίπαν
to the war as already the barbarians as on-the-whole
ἀπολωλότων καὶ ἀκονιτὶ τοῦ βασιλέως τῇ νίκῃ
having-perished and without-dust the emperor to-the victory
παρισταμένου. κρατησάσης δὲ τῆς χείρονος γνώμης,
standing-near having-prevailed and the worse judgment
ἐπειδὴ καὶ πρὸς τὸ χεῖρον ἦγεν ἡ τύχη τὰ πράγματα,
since also to the worse led the fortune the affairs

τὸν στρατὸν ἅπαντα σὺν οὐδενὶ κόσμῳ πρὸς τὴν μάχην
the army all with no order to the battle
ἐξῆγεν ὁ βασιλεύς.
led-out the emperor

24.2 οἷς ἀπαντήσαντες ἀπροφασίστως οἱ βάρβαροι, καὶ παρὰ
whom having-met unhesitatingly the barbarians and by
πολὺ τῇ μάχῃ κρατήσαντες, μικροῦ μὲν ἅπαντας
much in-the battle having-prevailed nearly indeed all
πανωλεθρίᾳ διέφθειραν· σὺν ὀλίγοις δὲ πεφευγότος εἴς
with-utter-destruction destroyed with few and having-fled into
τινα κώμην τοῦ βασιλέως, οὐκ οὖσαν τειχήρη, περιθέντες
some village the emperor not being walled having-put-around
ὕλην πανταχόθεν τῇ κώμῃ καὶ πῦρ ἐνέντες τοὺς
wood on-all-sides to-the village and fire having-set-into the(-ones)
ἐν αὐτῇ συμφυγόντας μετὰ τῶν ἐνοικούντων ἐνέπρησαν,
in it having-fled-together with the inhabitants they-burned
ὡς μηδὲ τῷ τοῦ βασιλέως σώματι δυνηθῆναί τινα
so-that not-even to-the of-the emperor body to-be-able anyone
παντάπασιν ἐπιστῆναι.
at-all to-come-upon

24.3 Τῶν δὲ πραγμάτων ἐπὶ λεπτοτάτης ἑστώτων ἐλπίδος,
the and affairs on slenderest standing hope
Βίκτωρ ὁ τοῦ Ῥωμαίων ἡγούμενος ἱππικοῦ, τὸν
Victor the(-one) of-the of-Romans leading cavalry the
κίνδυνον ἅμα τισὶν ἱππεῦσι διαφυγών, ἐπὶ Μακεδονίαν
danger with some horsemen having-escaped to Macedonia
τε καὶ Θεσσαλίαν ἐλάσας κἀκεῖθεν ἐπὶ Μυσοὺς καὶ
both and Thessaly having-ridden and-from-there to Moesians and
Παίονας ἀναδραμών, αὐτόθι διατρίβοντι τῷ Γρατιανῷ
Paeonians having-run-up there staying — to-Gratian

τὸ συμβὰν ἀπαγγέλλει καὶ τὴν τοῦ στρατοπέδου
the(-thing) having-happened reports and the of-the army
καὶ τοῦ βασιλέως ἀπώλειαν.
and of-the emperor destruction
ὃ δὲ οὐ σφόδρα μὲν λυπηρῶς τὴν τοῦ θείου τελευτὴν 24.4
he and not very indeed grievously the of-the uncle death
ἤνεγκεν (ἦν γάρ τις ὑποψία πρὸς ἀλλήλους αὐτοῖς), ὁρῶν
bore was for some suspicion toward one-another to-them seeing
δὲ αὐτὸν οὐκ ἀρκοῦντα πρὸς τὴν διοίκησιν, Θρᾴκης μὲν
and himself not sufficing for the administration Thrace indeed
ὑπὸ τῶν ἐφεστώτων ταύτῃ βαρβάρων κατεχομένης καὶ
by the being-over there barbarians being-held and
τῶν περὶ Μυσίαν καὶ Παιονίαν τόπων ὑπὸ τῶν ταύτῃ
the about Moesia and Paeonia places by the there
βαρβάρων ἐνοχλουμένων, τῶν δὲ ὑπὲρ τὸν Ῥῆνον ἐθνῶν
barbarians being-troubled the and beyond the Rhine peoples
ἀκωλύτως ταῖς πόλεσιν ἐπιόντων, αἱρεῖται τῆς βασιλείας
unhindered the cities attacking chooses of-the rule
κοινωνὸν Θεοδόσιον, ἐκ μὲν τῆς ἐν Ἰβηρίᾳ Καλλεγίας,
partner Theodosius from indeed the in Iberia Callaecia
πόλεως δὲ Καύκας ὁρμώμενον, ὄντα δὲ οὐκ ἀπόλεμον
of-the-city and Cauca coming being and not unwarlike
οὐδὲ ἀρχῆς στρατιωτικῆς ἄπειρον. ἐπιστήσας δὲ τοῖς
nor of-command military inexperienced having-set-over and the
κατὰ Θρᾴκην αὐτὸν καὶ τὴν ἑῴαν πράγμασιν αὐτὸς ἐπὶ
in Thrace him and the east affairs himself to
Γαλάτας τοὺς ἑσπερίους ἐχώρει, τὰ αὐτόθι διαθήσων,
Gauls the western went the(-affairs) there going-to-settle
ὡς οἷός τε γένοιτο.
as able — he-might-be

Theodosius, at Thessalonica, has his general Modares surprise and slaughter barbarians in Thrace. In the east Julius, with the senate's leave, has the Gothic youths settled in the cities massacred on a fixed day before they can avenge their kin. Zosimus blames Theodosius' extravagance: he multiplies commands and eunuchs, sells offices, and taxes the cities into ruin. He enrolls barbarian deserters until they outnumber his soldiers and sends some to Egypt; Egyptians and barbarians clash at Philadelphia in Lydia. The barbarians cross the Ister and rout Theodosius in Macedonia, and he barely escapes. He appeals to Gratian, taxes the plundered provinces bare, and enters Constantinople in triumph. Gratian's generals Bauto and Arbogast drive the barbarians out of Macedonia and Thessaly, but Theodosius again admits their sham deserters, and Zosimus closes on the corruption of the age.

25.1 Θεοδοσίου δὲ τοῦ βασιλέως κατὰ τὴν Θεσσαλονίκην
Theodosius and the emperor at — Thessalonica
διατρίβοντος, πολλοὶ πανταχόθεν κατὰ κοινὰς καὶ
staying many from-all-sides on common and
ἰδίας συρρέοντες χρείας τῶν προσηκόντων τυγχάνοντες
private flocking-together needs the fitting obtaining
ἀπηλλάττοντο. πλήθους δὲ πολλοῦ τῶν ὑπὲρ τὸν Ἴστρον
departed multitude and great of-the beyond the Ister
Σκυθῶν, Γότθων λέγω καὶ Ταϊφάλων καὶ ὅσα τούτοις
Scythians Goths I-mean and Taifali and as-many-as with-these
ἦν ὁμοδίαιτα πρότερον ἔθνη, περαιωθέντων καὶ ταῖς
were living-together before peoples having-crossed and the
ὑπὸ τὴν Ῥωμαίων ἀρχὴν οὔσαις πόλεσιν ἐνοχλεῖν
under the of-Romans rule being cities to-trouble
ἀναγκαζομένων διὰ τὸ πλῆθος Οὔννων τὰ παρ᾽
being-compelled because-of the multitude of-Huns the(-lands) by

αὐτῶν οἰκούμενα κατασχεῖν, ὁ μὲν βασιλεὺς Θεοδόσιος
them inhabited to-have-seized the indeed emperor Theodosius
ἐς πόλεμον πανστρατιᾷ παρεσκευάζετο·
for war with-the-whole-army prepared
πάσης δὲ τῆς Θρᾴκης ὑπὸ τῶν εἰρημένων ἐθνῶν ἤδη 25.2
all and — Thrace by the mentioned peoples already
κατειλημμένης, καὶ τῶν ἐπὶ τῇ φυλακῇ τῶν πόλεων καὶ
having-been-seized and the(-ones) for the guard of-the cities and
τῶν αὐτόθι φρουρίων οὐδὲ ἐπὶ βραχὺ θαρρούντων ἔξω τῶν
of-the there forts not-even for short daring outside the
τειχῶν προελθεῖν, μήτι γε καὶ ἐν τοῖς ὑπαίθροις εἰς χεῖρας
walls to-go-forth let-alone at-least also in the open-country to hands
ἐλθεῖν, Μοδάρης ὢν μὲν ἐκ τοῦ βασιλείου τῶν Σκυθῶν
to-come Modares being indeed from the royal of-the Scythians
γένους, οὐ πρὸ πολλοῦ δὲ πρὸς Ῥωμαίους αὐτομολήσας καὶ
race not before long and to Romans having-deserted and
δι᾽ ἣν ἐπεδείξατο πίστιν στρατιωτικῆς προβεβλημένος
because-of which he-showed faith to-military having-been-promoted
ἀρχῆς, ἐπί τινος ἀναβιβάσας λόφου τοὺς στρατιώτας,
command upon some having-led-up hill the soldiers
ὁμαλοῦ μὲν καὶ γεώδους, ἐκτεινομένου δὲ εἰς μῆκος καὶ
level indeed and earthy extending and into length and
πεδία μέγιστα ὑποκείμενα ἔχοντος, ἔλαθε μὲν τοὺς
plains very-great lying-below having escaped-notice indeed the
βαρβάρους τοῦτο πεποιηκώς, ἐπεὶ δὲ διὰ τῶν κατασκόπων
barbarians this having-done when and through the scouts
ἔγνω πάντας ἐν τοῖς ὑποκειμένοις τῷ λόφῳ πεδίοις τοὺς
he-learned all in the lying-below the hill plains the
πολεμίους ἀποχρησαμένους τῇ κατὰ τοὺς ἀγροὺς καὶ τὰς
enemies having-made-full-use-of the in the fields and the
ἀτειχίστους κώμας εὑρεθείσῃ τρυφῇ κεῖσθαι μεθύοντας,
unwalled villages found luxury to-lie drunk

ἡσυχῇ παραγγέλλει τοῖς στρατιώταις ξίφη μόνα καὶ ἀσπίδας
quietly orders the soldiers swords only and shields
ἐπικομιζομένοις, μείζονος δὲ ἢ βαρυτέρας ὑπεριδόντας
carrying greater and or heavier having-disdained
ὁπλίσεως καὶ τοὺς συνασπισμοὺς τοὺς συνήθεις ἐάσαντας,
armor and the lockings-of-shields the customary having-let-go
ἐπελθεῖν τοῖς βαρβάροις ἤδη τῇ τρυφῇ παρειμένοις·
to-attack the barbarians already by-the luxury relaxed
25.3 οὗπερ γεγενημένου βραχύ τι πρὸ τῆς ἡμέρας ἐπιθέμενοι
which-very having-happened short something before the day having-attacked
τοῖς βαρβάροις οἱ στρατιῶται πάντας κατέσφαξαν, τοὺς μὲν
the barbarians the soldiers all slaughtered some indeed
οὐδὲ αἰσθανομένους, τοὺς δὲ ἅμα τῇ αἰσθήσει τρωθέντας,
not-even perceiving others and at-once with-the perception wounded
καὶ ἄλλους ἄλλοις θανάτων τρόποις ἀναιρεθέντας. ἐπεὶ
and others by-other of-deaths ways killed when
δὲ τῶν ἀνδρῶν οὐδὲν ὑπελείφθη, τοὺς μὲν πεσόντας
and of-the men nothing was-left the indeed fallen
ἐσκύλευον, ἐπὶ δὲ τὰς γυναῖκας καὶ τοὺς παῖδας
they-stripped against and the women and the children
ὁρμήσαντες ἁμάξας μὲν εἷλον τετρακισχιλίας αἰχμαλώτους
having-rushed wagons indeed they-took four-thousand captives
δὲ ὅσους ἦν εἰκὸς ἐπὶ τοσούτων ἁμαξῶν φέρεσθαι, δίχα
and as-many-as was likely on so-many wagons to-be-carried apart-from
τῶν βάδην ταύταις ἀκολουθούντων καὶ ἐξ ἀμοιβῆς, οἷα
the(-ones) on-foot these following and by turns as
φιλεῖ γίνεσθαι, τὰς ἀναπαύσεις ἐπ᾽ αὐτῶν ποιουμένων.
is-wont to-happen the rests on them making
25.4 οὕτω τοῖς ἀπὸ τῆς τύχης πορισθεῖσι τοῦ στρατηγοῦ
thus the(-things) from the fortune provided the general
χρησαμένου, τὰ μὲν τῆς Θρᾴκης, εἰς ἔσχατον
having-used the(-affairs) indeed — of-Thrace into utmost

ἀπωλείας ἐλάσειν κινδυνεύσαντα, τέως ἦν ἐν ἡσυχίᾳ
destruction to-come having-been-in-danger for-a-while were in quiet
παρὰ πᾶσαν ἐλπίδα τῶν ἐν ταύτῃ βαρβάρων ἀπολομένων.
beyond all hope the in this barbarians having-perished
Τὰ δὲ κατὰ τὴν ἑῴαν οὐ πόρρω γέγονε παντελοῦς 26.1
the(-affairs) and in the east not far came-to total
ἀπωλείας ἐξ αἰτίας τοιᾶσδε. τῶν Οὔννων, ὃν τρόπον
destruction from cause such the Huns in-what way
διεξῆλθον, τοῖς ὑπὲρ τὸν Ἴστρον κατῳκημένοις ἔθνεσιν
I-have-related the beyond the Ister settled peoples
ἐπελθόντων, οὐκ ἐνεγκόντες οἱ Σκύθαι τὰς τούτων ἐφόδους
having-attacked not having-borne the Scythians the of-these attacks
Οὐάλεντος τηνικαῦτα βασιλεύοντος ἐδεήθησαν κατὰ τὴν
Valens at-that-time reigning begged in —
Θρᾴκην δέξασθαι αὐτούς, συμμάχων τε καὶ ὑπηκόων
Thrace to-receive them of-allies both and subjects
πληρώσοντας χρείαν, ὑπηρετησομένους δὲ πᾶσιν οἷς ἂν
going-to-fulfill the-need going-to-serve and in-all which —
ὁ βασιλεὺς ἐπιτάξειεν.
the emperor should-command
τούτοις ὑπαχθεὶς τοῖς λόγοις Οὐάλης δέχεται μὲν αὐτούς, 26.2
by-these led-on the words Valens receives indeed them
οἰηθεὶς δὲ τῆς αὐτῶν πίστεως ἐχέγγυον ἀσφάλειαν
having-thought and of-the their faith a-reliable security
ἔχειν εἰ τοὺς αὐτῶν παῖδας εἰς ἥβην οὔπω προελθόντας
to-have if the their children to manhood not-yet having-come
ἐν ἑτέρᾳ που διαιτᾶσθαι παρασκευάσειεν χώρᾳ, πλῆθος
in another somewhere to-live he-should-arrange land multitude
πολύ τι παιδαρίων εἰς τὴν ἑῴαν ἐκπέμψας Ἰούλιον
great some of-children into the east having-sent Julius

ἐπέστησε τῇ τούτων ἀνατροφῇ τε καὶ φυλακῇ, τὴν
he-set-over to-the of-these rearing both and guard the
ἀγχίνοιαν τοῦ ἀνδρὸς πρὸς ἑκάτερον ἀρκεῖν ἡγησάμενος.
sagacity of-the man for each-of-the-two to-suffice having-thought
26.3 ὃ δὲ ταῖς πόλεσιν αὐτοὺς ἐγκατένειμεν, ὥστε μὴ
he and in-the cities them distributed so-that not
βάρβαρον νεολαίαν, εἰς πλῆθος συνειλεγμένην τοσοῦτον,
barbarian youth into multitude collected so-great
εὐρυχωρίαν ἔχειν τοῦ νεωτερίζειν τι καὶ ἔξω τῶν
free-scope to-have of-the to-make-revolution something and outside of-the
οἰκείων συμφρονῆσαι. τούτοις ἐνδιαιτωμένοις ταῖς πόλεσι
homes to-conspire to-these living in-the cities
καὶ ἤδη ταῖς ἡλικίαις ἀκμάζουσι τὰ κατὰ τὴν
and already in-the ages being-in-their-prime the(-things) in —
Θρᾴκην συμβάντα τοῖς αὐτῶν ὁμοφύλοις ἠγγέλθη·
Thrace having-befallen the their kinsmen was-reported
26.4 δυσχεράναντες δὲ πρὸς τὴν ἀκοὴν ἀλλήλοις τε ὡμίλουν
having-been-vexed and at the hearing with-one-another both they-conversed
ὅσοι κατὰ τὴν αὐτὴν πόλιν ἔτυχον ὄντες, καὶ τοῖς
as-many-as in the same city happened being and to-the(-ones)
ἑτέρας πόλεις οἰκοῦσι λαθραίως ἐδήλουν, τῇ κατὰ τῶν
other cities inhabiting secretly they-showed by-the against the
πόλεων ἐπιθέσει τιμωρῆσαι τοῖς σφῶν πατράσι καὶ
cities attack to-avenge the their fathers and
ὁμοφύλοις διανοούμενοι.
kinsmen intending
26.5 ταύτης αἰσθόμενος ὁ Ἰούλιος τῆς τῶν βαρβάρων ὁρμῆς,
this having-perceived — Julius the of-the barbarians impulse
καὶ ἀπορῶν μὲν ὅ τι πράξειε, δεδιὼς δὲ τὴν τῶν
and being-at-a-loss indeed what ever he-should-do fearing and the of-the
βαρβάρων ἐφ' ὅπερ ἂν ὁρμήσωσι πρόχειρον ἐπιχείρησιν,
barbarians to whatever — they-might-rush ready attempt

τῷ μὲν βασιλεῖ Θεοδοσίῳ δῆλον καταστῆσαι τὸ
to-the indeed emperor Theodosius plain to-make the(-thing)
μελετώμενον οὐκ ἔγνω, καὶ τοῖς περὶ Μακεδονίαν
being-planned not resolved both in-the about Macedonia
ἐνδιατρίβοντι τόποις, καὶ προσέτι γε ὡς μὴ παρ' αὐτοῦ
staying places and besides at-least as not by him
παρὰ Οὐάλεντος δὲ ταύτην ἐπιτραπεὶς τὴν φροντίδα,
by Valens and this having-been-entrusted-with the care
καὶ οὔπω σχεδὸν τῷ τότε βασιλεύοντι γνωριζόμενος·
and not-yet almost to-the then reigning(-emperor) being-known
τῇ δὲ κατὰ τὴν Κωνσταντινούπολιν γερουσίᾳ γράψας 26.6
to-the and in — Constantinople senate having-written
ἐν παραβύστῳ, καὶ παρὰ ταύτης ἐπιτραπεὶς ὅ
in secret and by this having-been-permitted what
τι ἂν λυσιτελεῖν ἡγήσαιτο πρᾶξαι, τοιῷδέ τινι τρόπῳ
ever — to-be-profitable he-should-think to-do in-such some way
τὸν ἐπηρτημένον ταῖς πόλεσιν ἀποσείεται κίνδυνον.
the hanging-over the cities shakes-off danger
καλέσας ὡς ἑαυτὸν ἅπαντας ὅσοι ταγμάτων ἔτυχον
having-summoned to himself all as-many-as of-units happened
στρατιωτικῶν προεστῶτες, καὶ ὅρκοις καταλαβών, ἣν
military commanding and by-oaths having-bound what
εἶχε γνώμην αὐτοῖς ἐκοινώσατο.
he-had judgment to-them he-communicated
οἳ δὲ ἅπερ ἔδει πράττειν ἀκηκοότες, λόγους ἐνέσπειραν 26.7
they and what it-was-needful to-do having-heard words sowed
τοῖς ἐν ἑκάστῃ πόλει βαρβάροις, ὡς ὁ βασιλεὺς ἁδραῖς
among-the in each city barbarians that the emperor with-ample
σφόδρα δωρεαῖς αὐτοὺς ἀμείψασθαι βούλοιτο καὶ διαδοῦναι
very gifts them to-reward wished and to-distribute

πᾶσιν οὐ χρήματα μόνον ἀλλὰ καὶ γῆν, ὡς ἂν εἰς τὴν
to-all not money only but also land so-that — into the
ὑπὲρ αὐτοῦ καὶ Ῥωμαίων εὔνοιαν ἐπιδοῖεν.
toward him and Romans goodwill they-might-advance

26.8 ἐπὶ τούτοις τε ἐκέλευον εἰς τὰς μητροπόλεις ἀγείρεσθαι,
on these and they-bade into the chief-cities to-gather
ῥητῆς αὐτοῖς εἰς τοῦτο δοθείσης ἡμέρας. ταύταις
fixed to-them for this having-been-given day by-these
ἐπαρθέντες οἱ βάρβαροι ταῖς ἐλπίσιν ἐχάλασαν μέν
elated the barbarians the hopes relaxed indeed
τι τοῦ θυμοῦ καὶ τῆς κατὰ τῶν πόλεων ἀπωλείας,
something of-the anger and of-the against the cities destruction
ἀναμείναντες δὲ τὴν κυρίαν, οὗπερ ἑκάστοις ἦν
having-waited-for and the appointed(-day) where to-each was
τεταγμένον ἰέναι, συνέρρεον.
appointed to-go flocked-together

26.9 εἰδότες δὲ καὶ οἱ στρατιῶται τὸ σύνθημα, καταλαβόντες
knowing and also the soldiers the signal having-occupied
τὰ ταῖς ἀγοραῖς ἐπικείμενα τέγη τοὺς βαρβάρους
the over-the marketplaces lying roofs the barbarians
εἰσιόντας λίθοις καὶ βέλεσι κατηκόντισαν, ἕως ἅπαντας
entering with-stones and with-missiles shot-down until all
πανωλεθρίᾳ διαφθείραντες τὰς ἐν τῇ ἑῴᾳ πόλεις τῶν
with-utter-destruction having-destroyed the in the east cities from-the
ἐπικειμένων ἠλευθέρωσαν φόβων.
impending they-freed fears

27.1 Τὰ μὲν οὖν κατὰ τὴν ἑῴαν καὶ Θρᾴκην συμπεσόντα
the indeed then in the east and Thrace having-befallen
ἐλαττώματα τῇ τῶν στρατηγῶν ἀγχινοίᾳ ταύτην ἔσχε
reverses by-the of-the generals sagacity this had
τὴν τελευτήν. ὁ δὲ βασιλεὺς Θεοδόσιος ἐνδιαιτώμενος
the end the and emperor Theodosius living

ἔτι τῇ Θεσσαλονίκῃ τοῖς μὲν ἐντυγχάνουσιν ἐδόκει
still — in-Thessalonica to-the(-ones) indeed meeting(-him) seemed
πως εὐπρόσιτος εἶναι, τρυφὴν δὲ καὶ ἐκμέλειαν τῆς
somehow accessible to-be luxury and and carelessness of-the
βασιλείας προοίμια ποιησάμενος τὰς μὲν προεστώσας
reign preludes having-made the indeed presiding
ἀρχὰς συνετάραξε, τοὺς δὲ τῶν στρατιωτικῶν
offices he-threw-into-confusion the(-ones) and of-the military
ἡγουμένους πλείονας ἢ πρότερον εἰργάσατο·
leading more than before he-made
ἑνὸς γὰρ ὄντος ἱππάρχου καὶ ἐπὶ τῶν πεζῶν ἑνὸς 27.2
one for being master-of-horse and over the foot-soldiers one
τεταγμένου, πλείοσιν ἢ πέντε ταύτας διένειμε τὰς ἀρχάς,
appointed to-more than five these he-distributed the commands
τούτῳ τε καὶ τὸ δημόσιον σιτήσεσιν ἐβάρυνε πλείοσιν (οὐκέτι
by-this and also the treasury with-rations he-burdened more no-longer
γὰρ δύο στρατηγοῖς μόνοις ἀλλὰ πέντε καὶ πλείοσιν,
for for-two generals alone but five and more
ὅσην ἕκαστος τῶν δύο πρότερον εἶχεν, ἐχορηγοῦντο) καὶ
as-much-as each of-the two before had were-supplied and
τοὺς στρατιώτας τοσούτων ἀρχόντων ἐκδέδωκε πλεονεξίᾳ·
the soldiers of-so-many officers he-has-given-up to-the-greed
τούτων γὰρ ἕκαστος οὐ κατὰ τὸ μέρος, ἀλλὰ ὁλόκληρον, 27.3
of-these for each not by the share but whole
ὡς ἂν εἰ δύο μόνων ὄντων, ἐκ τῆς περὶ τὰ στρατιωτικὰ
as — if two alone being from the about the military
σιτηρέσια καπηλείας ἀθροίζειν ἐβούλετο κέρδος. καὶ οὐ
rations huckstering to-gather wished gain and not
τοῦτο μόνον, ἀλλὰ καὶ ἰλάρχας καὶ λοχαγοὺς καὶ
this only but also squadron-commanders and captains and
ταξιάρχους εἰς πλῆθος ἤγαγε τοσοῦτον ὥστε διπλασίους
commanders into multitude he-brought so-great that double

ἢ πρότερον εἶχε λελεῖφθαι, τοὺς δὲ στρατιώτας τῶν
than before he-had to-be-left the and soldiers of-the(-things)
ἐκ τοῦ δημοσίου δεδομένων αὐτοῖς ἔχειν οὐδέν.
from the treasury given to-them to-have nothing

28.1 Ἀλλὰ τοῦτο μὲν εἰς τοῦτο κατέστησεν ἡ τοῦ βασιλέως
but this indeed into this brought the of-the emperor
ἐκμέλεια καὶ ἡ ἄλογος τῶν χρημάτων ἐπιθυμία, τοσαύτην
carelessness and the irrational of-the money desire so-great
δὲ ἐπεισήγαγε τῇ βασιλικῇ τραπέζῃ δαπάνην ὥστε διὰ
and he-introduced to-the imperial table expense that because-of
πλῆθος τῶν ἐδεσμάτων καὶ τῆς περὶ ταῦτα πολυτελείας
multitude of-the foods and of-the about these extravagance
τάγματα πολυάνθρωπα καταστῆναι μαγείρων τε καὶ
units populous to-be-established of-cooks both and
οἰνοχόων καὶ τῶν ἄλλων, οὓς εἴ τις ἐξαριθμήσασθαι
of-cupbearers and of-the others whom if anyone to-enumerate
βουληθείη, συγγραφῆς αὐτῷ πολυστίχου δεήσει.
should-wish of-a-writing to-him of-many-lines it-will-need

28.2 περὶ γὰρ τοῦ πλήθους τῶν περὶ τὴν βασιλικὴν θεραπείαν
about for the multitude of-the about the imperial service
εὐνούχων, καὶ ὡς οἱ πλεῖστοι τούτων, ὅσοι μάλιστα
eunuchs and how the most of-these as-many-as most
τῶν ἄλλων ὥρᾳ διέφερον, ἄρχοντάς τε ὡς ἠβούλοντο
of-the others in-beauty excelled officials both as they-wished
παρῆγον εἰς μέσον καὶ τῆς βασιλείας ἁπάσης τὴν
brought into midst and of-the rule all the
ἐπικράτειαν ἔσχον, τὴν τοῦ βασιλεύοντος εἰς ὅπερ
mastery held the of-the reigning(-emperor) into whatever
ἐβούλοντο μεταφέροντες γνώμην, τί δεῖ λέγοντα
they-wished shifting judgment why must-one saying

μηκύνειν ἐπὶ πλέον τὸν λόγον, δέον τὰ τῆς ἐξ
to-lengthen for more the account it-being-needful the of-the from
ἐκείνου τῶν πραγμάτων ἀπωλείας αἴτια διελθεῖν.
that-time of-the affairs ruin causes to-go-through
ἐπειδὴ γὰρ ὡς ἔτυχε, καὶ περὶ τοὺς ἀναξίους, τὰ δημόσια 28.3
since for as it-happened also on the unworthy the public(-funds)
δαπανῶν πλειόνων εἰκότως ἐδεῖτο χρημάτων, καὶ τὰς τῶν
spending of-more naturally he-needed money also the of-the
ἐπαρχιῶν ἡγεμονίας ὠνίους προυτίθει τοῖς προσιοῦσι,
provinces governorships for-sale he-set-out to-the(-ones) approaching
δόξῃ μὲν ἢ βίῳ σπουδαίῳ παντάπασιν οὐ προσέχων,
to-reputation indeed or to-life earnest at-all not attending
ἐπιτήδειον δὲ κρίνων τὸν ἀργύριον προσάγοντα πλέον.
suitable and judging the(-one) silver bringing more
καὶ ἦν ἰδεῖν ἀργυραμοιβοὺς καὶ ὀβολοστάτας καὶ 28.4
and it-was-possible to-see money-changers and usurers and
ἄλλους ἐπ᾽ ἀγορᾶς τὰ τῶν ἐπιτηδευμάτων αἰσχρότατα
others in marketplace the of-the pursuits most-shameful
μετιόντας ἐπιφερομένους τὰ τῶν ἀρχῶν σύμβολα καὶ τοῖς
following bearing the of-the offices insignia and to-the(-ones)
πλείονα ἔχουσι χρήματα τὰς ἐπαρχίας παραδιδόντας.
more having money the provinces handing-over
οὔσης οὖν ἤδη τοιαύτης τῆς ἀμφὶ τὴν πολιτείαν ἐπὶ 29.1
being then already such the about the state to
τὸ χεῖρον ἐναλλαγῆς, τὸ μὲν στρατιωτικὸν ἐν ὀλίγῳ
the worse change the indeed military(-force) in little
μεμείωτο χρόνῳ καὶ εἰς τὸ μηδὲν περιίστατο, τὰς
had-been-diminished time and into the nothing was-coming the
δὲ πόλεις ἐπιλελοίπει τὰ χρήματα, τὰ μὲν ὑπὸ τῶν
and cities had-failed the money some indeed by the
ἐπιτεθέντων εἰσφορῶν, ὑπερβαινόντων τὸ μέτρον, τὰ δὲ
imposed taxes exceeding the measure others and

εἰς τὴν τῶν ἀρχόντων ἐκενοῦτο πλεονεξίαν· τοὺς γὰρ μὴ
into the of-the officials was-emptied greed the(-ones) for not
θεραπεύοντας τὴν αὐτῶν ἀπληστίαν τοῖς ἐκ συκοφαντίας
courting the their insatiability with-the from false-accusation
πράγμασι περιέβαλλον, μόνον οὐχὶ βοῶντες ὡς ὅσα
affairs they-surrounded only not shouting that as-much-as
ὑπὲρ τῆς ἀρχῆς δεδώκασιν ἀνάγκη πᾶσα συναγαγεῖν.
for the office they-have-given necessity all to-collect

29.2 ἐκ τούτου τοιγαροῦν οἱ τὰς πόλεις οἰκοῦντες πενίᾳ
from this accordingly the(-ones) the cities inhabiting by-poverty
τε καὶ ἀρχόντων κακίᾳ τρυχόμενοι δυστυχῆ καὶ
both and of-officials by-wickedness worn-out unhappy and
οἴκτιστον ἔτριβον βίον, ἱκετεύοντες τὸν θεὸν καὶ δεόμενοι
most-pitiable spent life supplicating the god and begging
τῶν τοσούτων αὐτοῖς ἀπαλλαγὴν εὕρασθαι συμφορῶν·
from-the so-great for-them release to-find calamities
ἔτι γὰρ ἦν αὐτοῖς ἄδεια τοῦ φοιτᾶν εἰς τὰ ἱερὰ καὶ τὰ
still for was to-them freedom of-the to-go into the temples and the
θεῖα κατὰ τοὺς πατρίους θεσμοὺς ἐκμειλίττεσθαι.
divine(-powers) according-to the ancestral ordinances to-propitiate

30.1 Ὁ δὲ βασιλεὺς Θεοδόσιος παρὰ πολὺ ἐλαττωθὲν τὸ
the and emperor Theodosius by much diminished the
στρατιωτικὸν θεασάμενος, ἐφῆκε τῶν ὑπὲρ τὸν Ἴστρον
military(-force) having-seen permitted of-the beyond the Ister
βαρβάρων τοῖς βουλομένοις ὡς αὐτὸν ἰέναι, τοὺς
barbarians to-the(-ones) wishing to himself to-come the
αὐτομόλους ἐντάττειν τοῖς στρατιωτικοῖς τάγμασιν
deserters to-enroll in-the military units
ὑπισχνούμενος. οἳ δὲ τὸ σύνθημα τοῦτο δεξάμενοι
promising they and the signal this having-received
ᾖεσάν τε ὡς αὐτὸν καὶ ἀνεμίγνυντο τοῖς στρατιώταις,
came both to him and mingled with-the soldiers

γνώμην ἐν ἑαυτοῖς ἔχοντες, εἰ πλείους γένοιντο, ῥᾷον
judgment in themselves having if more they-should-become more-easily
ἐπιθέσθαι τοῖς πράγμασι καὶ κρατήσειν ἁπάντων.
to-attack the affairs and to-master all
ἰδὼν δὲ τὸ πλῆθος τῶν αὐτομόλων ὁ βασιλεὺς ἤδη τὸ 30.2
having-seen and the multitude of-the deserters the emperor already the
τῶν αὐτόθι στρατιωτῶν ὑπεραῖρον, ἐν νῷ τε βαλόμενος ὡς
of-the there soldiers exceeding in mind and having-put that
οὐ καθέξει τις αὐτοὺς ἕτερόν τι παρὰ τὰ συντεθειμένα
not will-restrain anyone them something other beyond the(-terms) agreed
φρονήσαντας, ἄμεινον ᾠήθη μέρος τι τούτων τοῖς
having-intended better he-thought part some of-these with-the(-ones)
στρατευομένοις κατὰ τὴν Αἴγυπτον ἀναμῖξαι, μέρος δὲ
serving in — Egypt to-mix part and
τῶν τὰ ἐκεῖσε τάγματα πληρούντων ὡς ἑαυτὸν ἀγαγεῖν.
of-the(-ones) the there units filling to himself to-bring
οὗ δὴ γενομένου, καὶ τῶν μὲν ἐπ᾽ ἐκεῖνα τῶν δὲ 30.3
which indeed having-happened and some indeed to there others and
ἐπὶ τάδε κατὰ τὸ βασιλέως σύνθημα προϊόντων, οἱ
to here according-to the of-the-emperor signal going-forward the
μὲν Αἰγύπτιοι τὴν πάροδον ἡσυχῇ ποιούμενοι διὰ τῶν
indeed Egyptians the passage quietly making through the
πόλεων τὰ ἐν χρείᾳ τιμῆς δικαίας ὠνοῦντο, οἱ
cities the(-things) in need at-price just bought the
βάρβαροι δὲ σὺν οὐδενὶ κόσμῳ τῇ παρόδῳ χρώμενοι
barbarians and with no order the passage using
τὰ ἐπ᾽ ἀγορᾶς ὡς ἐβούλοντο διετίθεσαν.
the(-things) in marketplace as they-wished disposed-of
ἐπεὶ δὲ συνέδραμον εἰς τὴν Φιλαδέλφειαν, ἣ μία τῆς 30.4
when and they-met at — Philadelphia which one —
Λυδίας ἐστίν, οἱ μὲν Αἰγύπτιοι πολλῷ τῶν βαρβάρων
of-Lydia is the indeed Egyptians by-much than-the barbarians

ὄντες ἐλάττους εἶχοντο τῆς στρατιωτικῆς εὐταξίας, οἱ
being fewer held-to the military discipline the
δὲ βάρβαροι πλήθει τούτους ὑπεραίροντες ἔχειν τι
and barbarians in-multitude these exceeding to-have something
πλέον ἠξίουν. καὶ ἐπειδὴ τῶν ἐπ᾽ ἀγορᾶς τις
more claimed and when of-the(-ones) in marketplace someone
ὧν ἀπέδοτο δοθῆναι τιμὴν ᾔτησεν, ὁ δὲ βάρβαρος τὸ
of-what he-had-sold to-be-given price asked the and barbarian the
ξίφος ἐπήγαγεν, εἶτα ἀναβοήσαντος ἐπλήττετο καὶ ἄλλος
sword brought-on then having-shouted was-struck also another
βοηθῆσαι βουλόμενος, ἐλεήσαντες οἱ Αἰγύπτιοι τὸ
to-help wishing having-pitied the Egyptians the(-thing)
γινόμενον ἐπιεικῶς τοῖς βαρβάροις ἀπέχεσθαι παρῄνουν
happening reasonably the barbarians to-abstain urged
τῶν τοιούτων ἀτοπημάτων· μὴ γὰρ εἶναι τοῦτο ἔργον
from-the such outrages not for to-be this work
ἀνθρώπων κατὰ Ῥωμαίων νόμους ζῆν ἐθελόντων.
of-men according-to of-Romans laws to-live wishing
30.5 οἳ δὲ κατ᾽ ἐκείνων ἐχρῶντο τοῖς ξίφεσιν, ἕως ἐνδόντες
they and against them used the swords until having-given-way
οἱ Αἰγύπτιοι τῷ θυμῷ συνέπεσόν τε αὐτοῖς καὶ πλείους
the Egyptians to-the anger fell-upon both them and more
ἢ διακοσίους ἀνεῖλον, τοὺς μὲν πλήξαντες, τοὺς δὲ εἰς
than two-hundred killed some indeed having-struck others and into
τοὺς ὑπονόμους φυγεῖν ἀναγκάσαντες κἀκεῖσε τὸν βίον
the sewers to-flee having-compelled and-there the life
ἀπολιπεῖν. ἐν μὲν οὖν τῇ Φιλαδελφείᾳ ταῦτα πράξαντες
to-leave in indeed then — Philadelphia these-things having-done
ἐπὶ τοῖς βαρβάροις Αἰγύπτιοι, καὶ πείσαντες σωφρονεῖν
to the barbarians Egyptians and having-persuaded to-be-sensible
ὡς τῶν ἀντιστησομένων αὐτοῖς οὐκ ἐπιλειψόντων,
as the(-ones) going-to-resist them not going-to-be-lacking

αὐτοὶ μὲν εἴχοντο τῆς ἐπὶ τὸ πρόσω πορείας, οἱ δὲ
themselves indeed held-to the to the forward march the and
βάρβαροι ἐπὶ τὴν Αἴγυπτον, οὗ τεταγμένον ἦν αὐτοῖς,
barbarians to — Egypt where appointed it-was for-them
προῄεσαν. ἡγεῖτο δ' αὐτῶν Ὁρμίσδης ὁ Πέρσης· ἦν
went-forward led and them Hormisdas the Persian he-was
δὲ Ὁρμίσδου παῖς τοῦ κοινωνήσαντος εἰς τὸν κατὰ
and of-Hormisdas son the(-one) having-shared in the against
Περσῶν πόλεμον Ἰουλιανῷ τῷ αὐτοκράτορι.
Persians war with-Julian the emperor
Τῶν δὲ Αἰγυπτίων εἰς Μακεδονίαν ἀφικομένων καὶ τοῖς 31.1
the and Egyptians into Macedonia having-arrived and with-the
αὐτόθι τάγμασι συναφθέντων, τάξις μὲν ἦν τοῖς
there units having-been-joined order indeed there-was in-the
στρατεύμασιν οὐδεμία, οὐδὲ Ῥωμαίου διάκρισις ἢ βαρβάρου,
armies none nor of-Roman distinction or of-barbarian
πάντες δὲ ἀναμὶξ ἀνεστρέφοντο, μηδὲ ἀπογραφῆς ἔτι
all and mixed went-about nor list still
τῶν ἐν τοῖς στρατιωτικοῖς ἀριθμοῖς ἀναφερομένων
of-the(-ones) in the military numbers reported
φυλαττομένης. ἐφεῖτο δὲ τοῖς αὐτομόλοις, ἤδη τοῖς
being-kept it-was-permitted and to-the deserters already in-the
τάγμασιν ἐγγραφεῖσιν, εἰς τὴν οἰκείαν ἐπανιέναι καὶ
units enrolled to the home to-return and
ἑτέρους ἐκπέμπειν ἀνθ' ἑαυτῶν, καὶ ὁπηνίκα ἂν αὐτοῖς
others to-send in-place-of themselves and whenever — to-them
δοκοίη, πάλιν ὑπὸ Ῥωμαίους στρατεύεσθαι.
it-should-seem again under Romans to-serve
τοιαύτην ὁρῶντες οἱ βάρβαροι κρατοῦσαν ἐν τοῖς 31.2
such seeing the barbarians prevailing in the
στρατιωτικοῖς τάγμασι ταραχὴν (οἵ τε γὰρ αὐτόμολοι
military units confusion the both for deserters

πάντα ἐσήμαινον αὐτοῖς καὶ ἡ τῆς ἐπιμιξίας εὐρυχωρία)
all-things signified to-them and the of-the intercourse freedom
καιρὸν ἔχειν ᾠήθησαν ἐπιθέσθαι τοῖς πράγμασιν ἐν
opportunity to-have they-thought to-attack the affairs in
ἀμελείᾳ τοσαύτῃ κειμένοις.
neglect so-great lying

31.3 καὶ σὺν οὐδενὶ πόνῳ τὸν ποταμὸν διαβάντες καὶ μέχρι
and with no labor the river having-crossed and up-to
Μακεδονίας ἐλθόντες (ἐκώλυε γὰρ οὐδὲ εἷς, ἐνδιδόντων
Macedonia having-come hindered for not-even one granting
αὐτοῖς μάλιστα τῶν αὐτομόλων ἀκώλυτον, ἐφ' ἅπερ
to-them most the deserters unhindered for whatever
ἐβούλοντο, τὴν διάβασιν) ἐπειδὴ καὶ τὸν βασιλέα μετὰ
they-wished the crossing when also the emperor with
παντὸς αὐτοῖς ἀπαντήσαντα τοῦ στρατεύματος ᾔσθοντο,
all them having-met the army they-perceived
νυκτὸς οὔσης ἤδη βαθείας πῦρ ἀνακαιόμενον πολὺ
night being already deep fire being-kindled much
θεασάμενοι, τεκμαιρόμενοί τε ὡς περὶ τὸν βασιλέα καὶ
having-seen judging both that about the emperor and
τοὺς περὶ αὐτὸν εἴη τὸ φαινόμενον πῦρ, ἅμα δὲ καὶ
the(-ones) about him was the appearing fire at-once and also
παρὰ τῶν προσιόντων αὐτοῖς αὐτομόλων οὕτως ἔχειν
from the coming-over to-them deserters thus to-be
τοῦτο μαθόντες, δρόμον ἀφῆκαν ἐπὶ τὴν τοῦ βασιλέως
this having-learned a-run they-let-go to the of-the emperor
σκηνήν, ὑπὸ τοῦ πυρὸς ὁδηγούμενοι.
tent by the fire being-guided

31.4 συναραμένων δὲ καὶ τῶν αὐτομόλων αὐτοῖς, μόνοι
having-joined and also the deserters them alone
Ῥωμαῖοι, καὶ τῶν Αἰγυπτίων ὅσοι παρῆσαν, ἀντέστησαν.
Romans and of-the Egyptians as-many-as were-present resisted

ὀλίγοι δὲ πρὸς πολλῷ πλείονας οὐκ ἀρκέσαντες ἔδωκαν
few and against much more not having-sufficed gave
μὲν τῷ βασιλεῖ φυγῆς εὐρυχωρίαν, αὐτοὶ δὲ ἅπαντες
indeed to-the emperor of-flight room themselves and all
ἔπεσον ἀνδρείως μαχόμενοι καὶ τῶν βαρβάρων πλῆθος
fell bravely fighting and of-the barbarians multitude
ἄπειρον ἀνελόντες.
countless having-killed
εἰ μὲν οὖν ἐπεξῆλθον οἱ βάρβαροι τῷ προτερήματι 31.5
if indeed then had-followed-up the barbarians the advantage
καὶ τοὺς ἅμα τῷ βασιλεῖ φεύγοντας ἐδίωξαν, πάντως
and the(-ones) with the emperor fleeing had-pursued altogether
αὐτοβοεὶ πάντων ἂν ἐκράτησαν. ἐπεὶ δὲ ἀρκεσθέντες
at-the-first-shout all — they-would-have-mastered when and content
τῇ νίκῃ Μακεδονίας καὶ Θεσσαλίας ἐγένοντο κύριοι
with-the victory of-Macedonia and Thessaly they-became masters
φυλάττοντος οὐδενός, αὐτοὶ μὲν ἀφῆκαν τὰς πόλεις,
guarding no-one themselves indeed let-go the cities
ἄχαρι πράξαντες εἰς αὐτὰς οὐδὲ ἕν, ἐλπίδι τοῦ
unpleasant having-done to them not-even one-thing in-hope of-the
φόρου τινὰ μέτριον ἐξ αὐτῶν κομιεῖσθαι·
tribute some moderate from them to-get
μαθὼν δὲ ὁ βασιλεὺς ὡς ἐπὶ τούτοις τὴν ἀναχώρησιν 32.1
having-learned and the emperor that on these-terms the withdrawal
ποιησάμενοι τὰ οἰκεῖα κατέλαβον, φυλακαῖς μὲν τὰ
having-made the homes they-had-reached with-garrisons indeed the
φρούρια καὶ τὰς τειχήρεις ἠσφαλίζετο πόλεις, αὐτὸς δὲ ἐπὶ
forts and the walled he-secured cities himself and to
τὴν Κωνσταντινούπολιν ἤλαυνε, γράμματα πρὸς Γρατιανὸν
— Constantinople marched letters to Gratian
στείλας τὸν βασιλέα, δι᾽ ὧν τὰ συμβεβηκότα
having-sent the emperor through which the(-things) having-happened

ἐδήλου, καὶ ὡς δέοι τοῖς πράγμασιν εἰς ἔσχατον
he-showed and that it-was-needful the affairs into utmost
ἥκουσι κακοῦ μετὰ πάσης ἀμύνειν ταχυτῆτος.
having-come of-evil with all to-help speed

32.2 καὶ τοὺς γραμματηφόρους ἐπὶ τούτοις ἐξέπεμπεν, αὐτὸς
and the letter-carriers on these he-sent-out himself
δέ, ὡς οὐδενὸς λυπηροῦ ταῖς ἐν Μακεδονίᾳ πόλεσιν
and as no grievous(-thing) to-the in Macedonia cities
καὶ Θεσσαλίᾳ συμβεβηκότος, ἐφίστη τοὺς τῶν δημοσίων
and Thessaly having-happened set-over the of-the public
πράκτορας φόρων εἰσπράξοντας τὸ τελούμενον εἰς
collectors taxes going-to-exact the(-thing) paid to
πᾶσαν ἀκρίβειαν. καὶ ἦν ἰδεῖν, εἴ τι διὰ τὴν τῶν
all exactness and it-was-possible to-see if anything because-of the of-the
βαρβάρων φιλανθρωπίαν περιλελειμμένον ἦν, ἐκφορούμενον·
barbarians humanity left was being-carried-off

32.3 οὐ γὰρ χρήματα μόνον ἀλλὰ καὶ γυναικεῖος κόσμος καὶ
not for money only but also women's adornment and
ἐσθὴς πᾶσα, μέχρι καὶ αὐτῆς ὡς εἰπεῖν τῆς τὴν αἰδῶ
clothing all up-to also itself so to-say the(-one) the modesty
σκεπούσης, ὑπὲρ τῶν τεταγμένων ἐδίδοτο φόρων· καὶ
covering for the appointed was-given taxes and
ἦν πᾶσα πόλις καὶ πᾶς ἀγρὸς οἰμωγῆς καὶ θρήνων
was every city and every field of-wailing and of-laments
ἀνάμεστος, τοὺς βαρβάρους ἁπάντων ἀνακαλούντων καὶ
full the barbarians all calling-back and
τὴν ἐξ ἐκείνων ἐπισπωμένων βοήθειαν.
the from them drawing-to help

33.1 Καὶ τὰ μὲν Θεσσαλῶν καὶ Μακεδόνων ἐν τούτοις
and the(-affairs) indeed of-Thessalians and Macedonians in these-things
ἦν, ὁ δὲ βασιλεὺς Θεοδόσιος λαμπρὸς καὶ ὥσπερ ἐπὶ
were the and emperor Theodosius splendid and as-if for

νίκῃ σεμνῇ θρίαμβον ἐκτελῶν εἰς τὴν Κωνσταντινούπολιν
victory august triumph celebrating into — Constantinople
εἰσῄει, τῶν μὲν κοινῶν ἀτυχημάτων οὐδένα ποιούμενος
entered of-the indeed common misfortunes no making
λόγον, συνεκτείνων δὲ τῷ τῆς πόλεως μεγέθει τὴν τῆς
account stretching-out and with-the of-the city greatness the of-the
τρυφῆς ἀμετρίαν. ὁ δὲ βασιλεὺς Γρατιανὸς οὐ μετρίως
luxury excess the and emperor Gratian not moderately
ἐπὶ τοῖς ἀγγελθεῖσι συνταραχθεὶς στρατιὰν
at the(-things) reported having-been-thrown-into-confusion army
ἀρκοῦσαν ἐξέπεμψεν, Βαύδωνι τῷ στρατηγῷ ταύτην
sufficient sent-out to-Bauto the general this
παραδούς, ᾧ καὶ Ἀρβογάστην συνέπεμψεν·
having-handed-over with-whom also Arbogast he-sent-with
ἄμφω δὲ ἦσαν Φράγγοι τὸ γένος, εὖνοί τε σφόδρα 33.2
both and were Franks by-the race well-disposed both very
Ῥωμαίοις καὶ χρημάτων ὡς μάλιστα ἀδωρότατοι καὶ περὶ
to-Romans and to-money as most incorruptible and about
τὰ πολέμια φρονήσει καὶ ἀλκῇ διαφέροντες. τούτων
the war(-arts) in-prudence and in-strength excelling these
ἅμα τῇ στρατιᾷ τοῖς κατὰ Μακεδονίαν καὶ Θεσσαλίαν
at-once with-the army on-the in Macedonia and Thessaly
ἐπιστάντων χωρίοις, οἱ τὰ τῇδε νεμόμενοι Σκύθαι ἐκ
having-come-upon places the the(-lands) there occupying Scythians from
προοιμίου τοῦ φρονήματος τῶν ἀνδρῶν καὶ τῆς προαιρέσεως
prelude of-the spirit of-the men and of-the policy
συναισθόμενοι, παραχρῆμα τῶν τόπων ἐκείνων ἐκστάντες
having-perceived immediately from-the places those having-departed
ἐπὶ τὴν Θρᾴκην ἐπαλινδρόμουν πεπορθημένην ὑπ᾽ αὐτῶν
to — Thrace ran-back ravaged by them
πρότερον, καὶ ὅ τι πράξαιεν ἀπορούντες ἐπὶ τὴν ὁμοίαν
before and what ever they-should-do being-at-a-loss to the like

τῇ πρότερον ἐφέροντο πεῖραν καὶ τοῖς αὐτοῖς παράγειν
to-the before were-carried attempt and with-the same-things to-mislead
τὸν βασιλέα Θεοδόσιον ἐπεχείρουν·
the emperor Theodosius tried

33.3 αὐτομόλους γὰρ ἔπεμπον ὡς αὐτὸν ἐλαχίστους, εὔνοιαν καὶ
deserters for they-sent to him very-few goodwill and
συμμαχίαν καὶ πᾶν τὸ προσταττόμενον ὑπισχνουμένους.
alliance and all the(-thing) commanded promising
καὶ ἐπειδὴ ταῦτα λέγουσι πιστεύσας ἐδέχετο καὶ
and when these-things (them)-saying having-believed he-received(-them) and
οὐδὲ ἡ πρώτη πεῖρα δέδωκεν αὐτῷ τὸ λυσιτελοῦν
not-even the first attempt has-given him the profitable
ἰδεῖν, ἐπηκολούθησαν καὶ ἐπὶ τούτοις ἕτεροι, καὶ πάντας
to-see followed also after these others and all
προσίετο, καὶ πάλιν ἐπὶ τοῖς αὐτομόλοις τὰ πράγματα
he-admitted and again on the deserters the affairs
ἦν διὰ τὴν τοῦ βασιλέως ἠλιθιότητα. ταύτην δὲ
were because-of the of-the emperor stupidity this and
ἔτρεφεν ἡ τῆς τρυφῆς ἄσκησις ἐν αὐτῷ.
nourished the of-the luxury practice in him

33.4 πάντα γὰρ ὅσα πρὸς ἠθῶν ἀρκεῖ καὶ βίου διαφθοράν,
all for as-much-as toward of-characters suffices and of-life corruption
ἐπὶ τῆς τούτου βασιλείας τοσαύτην ἐπίδοσιν ἔσχεν ὥστε
under the his reign such increase had that
πάντας σχεδόν, ὅσοι τὰ τοῦ βασιλέως ἐζήλουν
all almost as-many-as the of-the emperor emulated
ἐπιτηδεύματα, τὴν ἀνθρωπίνην εὐδαιμονίαν ἐν τούτοις
pursuits the human happiness in these
ὁρίζεσθαι. μῖμοί τε γὰρ γελοίων καὶ οἱ κακῶς ἀπολούμενοι
to-define mimes both for of-jests and the wretchedly going-to-perish
ὀρχησταί, καὶ πᾶν ὅ τι πρὸς αἰσχρότητα καὶ τὴν
dancers and all what ever to shamelessness and the

ἄτοπον ταύτην καὶ ἐκμελῆ συντελεῖ μουσικήν, ἠσκήθη τε
absurd this and discordant contributes music was-practiced both
ἐπὶ τούτου, καὶ μετὰ ταῦτα, ∗∗∗ τὴν ἐκείνων ἄνοιαν
under this-man and after these-things (lacuna) the of-those folly
ζηλώσαντας εἶναι, εἰς τοσαύτην κατενεχθέντος διαφθορὰν
having-emulated to-be into such having-been-brought-down corruption
τοῦ πολιτεύματος. ἔτι τε καὶ τὰ τῶν θεῶν ἕδη κατὰ πᾶσαν
the state still both also the of-the gods seats in every
ἐπολιόρκει πόλιν καὶ χώραν, κίνδυνός τε πᾶσιν ἐπέκειτο
besieged city and country danger both on-all lay
τοῖς νομίζουσιν εἶναι θεοὺς ἢ ὅλως εἰς τὸν οὐρανὸν
the(-ones) believing to-be gods or at-all to the heaven
ἀναβλέπουσι καὶ τὰ ἐν αὐτῷ φαινόμενα προσκυνοῦσι.
looking-up and the(-things) in it appearing worshiping

V · MAXIMUS OVERTHROWS GRATIAN

Gratian lets two German hosts settle in Paeonia and upper Moesia. Athanaric, driven out by them, is received by Theodosius and buried with a splendor that awes the barbarians. Gratian's favor to Alan deserters angers the army; Britain proclaims Maximus, and Andragathius kills Gratian at Singidunum. Zosimus digresses on the pontiffs, whose robe Gratian refused, so that a pontiff foretold 'Maximus' would soon be pontifex. Theodosius recognizes Maximus; Promotus ambushes the Grothingi, and riots at Antioch are pardoned at Libanius' plea.

Θεοδοσίου τοίνυν ὄντος ἐν τούτοις, Γρατιανὸς ὁ 34.1
Theodosius therefore being in these-things Gratian the
βασιλεὺς ἐκπέμπει τοῖς κατὰ τὸ Ἰλλυριῶν κλῖμα
emperor sends-out to-the in the of-Illyrians region
στρατιωτικοῖς τάγμασι στρατηγὸν Βιταλιανόν, ἄνδρα
military units general Vitalianus a-man

πεπονηκόσι τοῖς πράγμασι κατ᾽ οὐδὲν ἀρκέσαι
for-having-suffered the affairs in nothing to-suffice
δυνάμενον.
able

34.2 τούτου δὲ ἡγουμένου δύο μοῖραι τῶν ὑπὲρ τὸν Ῥῆνον
this-man and leading two parts of-the beyond the Rhine
Γερμανικῶν ἐθνῶν, ἡ μὲν ἡγεμόνι Φριτιγέρνῳ χρωμένη,
German peoples the-one indeed as-leader Fritigern using
ἡ δὲ ὑπὸ Ἀλλόθεον καὶ Σάφρακα τεταγμένη, τοῖς
the-other and under Alatheus and Saphrax ranged on-the
Κελτικοῖς ἔθνεσιν ἐπικείμεναι κατέστησαν εἰς ἀνάγκην τὸν
Celtic peoples pressing brought into necessity the
βασιλέα Γρατιανὸν ἐνδοῦναι σφίσιν, ἀπολιπούσαις τὰ
emperor Gratian to-grant to-them having-left the(-lands)
ἐν Κελτοῖς, διὰ τοῦ Ἴστρου Παιονίαν καὶ τὴν ἄνω
among Celts through the Ister Paeonia and the upper
Μυσίαν καταλαβεῖν· ἦν γὰρ αὐτῷ λόγος τε καὶ σπουδὴ
Moesia to-occupy was for to-him reckoning both and eagerness
τέως ἀπαλλαγῆναι τῆς συνεχοῦς τούτων ἐφόδου.
for-a-while to-be-rid of-the continual of-these attack

34.3 διαπλεύσαντες οὖν ἐπὶ τούτοις τὸν Ἴστρον, διανοούμενοί
having-sailed-across then on these-terms the Ister intending
τε διὰ Παιονίας ἐπὶ τὴν Ἤπειρον διαβῆναι, περαιωθῆναι
both through Paeonia to — Epirus to-cross to-cross
δὲ τὸν Ἀχελῷον καὶ ταῖς Ἑλληνικαῖς πόλεσιν ἐπιθέσθαι,
and the Achelous and the Greek cities to-attack
τροφὰς πορίσασθαι ᾠήθησαν πρότερον, Ἀθανάριχόν τε
provisions to-procure they-thought first Athanaric and
παντὸς τοῦ βασιλείου τῶν Σκυθῶν ἄρχοντα γένους
of-all the royal of-the Scythians ruling race

ἐκποδὼν ποιήσασθαι πρὸς τὸ μηδένα κατὰ νώτου τὸν
out-of-the-way to-make for the no-one at back the(-one)
κωλύσοντα τὴν αὐτῶν ἐπιχείρησιν ἔχειν.
going-to-hinder the their attempt to-have
ἐπιθέμενοι τοίνυν αὐτῷ σὺν οὐδενὶ πόνῳ τῶν τόπων 34.4
having-attacked therefore him with no labor from-the places
ἐν οἷς ἦν ἀπανέστησαν. ὁ δὲ ὡς Θεοδόσιον
in which he-was they-drove-out he and to Theodosius
ἔδραμεν ἀρτίως ἀπαλλαγέντα νόσου τὸν βίον αὐτῷ
ran lately having-been-freed from-illness the life of-him
καταστησάσης εἰς ἀμφίβολον. ὁ δὲ φιλοφρόνως μετὰ
having-put into doubt he and kindly with
τῶν σὺν αὐτῷ βαρβάρων ἐδέξατο, πόρρω που
the with him barbarians received(-him) far somewhere
τῆς Κωνσταντινουπόλεως προελθών, καὶ παραχρῆμα
— *from-Constantinople having-gone-forth and immediately*
τελευτήσαντα ταφῇ βασιλικῇ περιέστειλε.
him-having-died with-burial royal laid-out
τοσαύτη δὲ ἦν ἡ περὶ τὴν ταφὴν πολυτέλεια ὥστε τοὺς 34.5
so-great and was the about the burial extravagance that the
βαρβάρους ἅπαντας καταπλαγέντας τῇ ταύτης ὑπερβολῇ,
barbarians all having-been-astonished by-the of-this excess
τοὺς μὲν Σκύθας ἐπανελθεῖν οἴκαδε καὶ μηκέτι Ῥωμαίοις
the indeed Scythians to-return home and no-longer Romans
παρενοχλεῖν, τὴν εὐγνωμοσύνην τοῦ βασιλέως θαυμάσαντας,
to-trouble the generosity of-the emperor having-admired
ὅσοι δὲ ἅμα τῷ τελευτήσαντι παρεγένοντο, τῇ τῆς
as-many-as and with the(-man) having-died had-come by-the of-the
ὄχθης φυλακῇ προσεγκαρτερήσαντας ἐπὶ πολὺ κωλῦσαι
bank guard having-persevered for long to-hinder

τὰς κατὰ Ῥωμαίων ἐφόδους. ἐν ταὐτῷ δὲ καὶ ἄλλα
the against Romans attacks at the-same(-time) and also other-things
προσεγίνετο τῷ Θεοδοσίῳ τύχης πλεονεκτήματα·
were-added — to-Theodosius of-fortune advantages
34.6 Σκύρους γὰρ καὶ Καρποδάκας Οὔννοις ἀναμεμιγμένους
Sciri for and Carpodaces with-Huns mixed
ἠμύνατο, καὶ ἐλαττωθέντας τῇ μάχῃ περαιωθῆναι τὸν
he-repulsed and defeated in-the battle to-cross the
Ἴστρον καὶ τὰ οἰκεῖα καταλαβεῖν συνηνάγκασεν. ἐκ τούτου
Ister and the homes to-reach he-compelled from this
τοιγαροῦν ἀναθαρρῆσαι τοὺς στρατιώτας συνέβη, καὶ ἔδοξέ
accordingly to-take-heart-again the soldiers it-happened and it-seemed
πως βραχὺ γοῦν ἐκ τῶν προλαβόντων δυστυχημάτων
somehow short at-any-rate from the preceding misfortunes
*** ἀνενεγκεῖν, ἀνιέναι τε καὶ γεωργοῖς τὴν τῆς γῆς
(lacuna) to-recover to-yield and also to-farmers the of-the land
ἐπιμέλειαν καὶ ὑποζυγίοις καὶ θρέμμασι νομὴν ἄφοβον.
care and to-beasts-of-burden and to-flocks pasture fearless
35.1 Ὁ μὲν οὖν βασιλεὺς Θεοδόσιος οὕτω πως ἔδοξεν ἰᾶσθαι
the indeed then emperor Theodosius thus somehow seemed to-remedy
τὰ ἐλαττώματα· Πρόμωτος δὲ ὁ στρατηγὸς τῶν κατὰ
the reverses Promotus and the general of-the in
Θρᾴκην πεζῶν Οἰδοθέῳ, δύναμιν συναγαγόντι πλείστην
Thrace foot-soldiers to-Odotheus a-force having-collected very-great
οὐ μόνον ἐκ τῶν τῷ Ἴστρῳ προσοίκων ἐθνῶν ἀλλὰ καὶ
not only from the to-the Ister neighboring peoples but also
τῶν πορρωτάτω που καὶ ἀγνώστων, καὶ ἐπελθόντι
the(-ones) farthest somewhere and unknown and having-come
πανστρατιᾷ καὶ περαιουμένῳ τὸν ποταμόν, ἀπαντήσας
with-the-whole-army and crossing the river having-met
πεζῇ τε καὶ ποταμίαις ναυσὶ τοσοῦτον εἰργάσατο φόνον
on-foot both and with-river ships so-great wrought slaughter

ὥστε καὶ τὸν ποταμὸν πλησθῆναι νεκρῶν καὶ τοὺς ἐν
that both the river to-be-filled with-corpses and the(-ones) on
γῇ πεσόντας μὴ ῥᾳδίως ἀριθμηθῆναι.
land fallen not easily to-be-counted
τῶν δὲ κατὰ Θρᾴκην ἐν τούτοις ὄντων, οὐ μέτριαί τινες, 35.2
the(-affairs) and in Thrace in these being not moderate some
οὐδὲ οἷαι διαφέρειν εὐκόλως, τὸν Γρατιανὸν περιίσταντο
nor such-as to-bear easily — Gratian beset
τύχαι. τοῖς γὰρ περὶ τὴν αὐλὴν τὰ τῶν αὐτοκρατόρων
fortunes to-the(-ones) for about the court the of-the emperors
ἤθη διαφθείρειν εἰωθόσι πειθόμενος, Ἀλανούς τινας
characters to-corrupt accustomed obeying Alans some
αὐτομόλους δεξάμενος καὶ στρατιαῖς ἐγκαταλέξας δωρεαῖς
deserters having-received and into-armies having-enrolled with-gifts
τε ἁδραῖς ἐτίμα καὶ θαρρεῖν ἠξίου τὰ πάντων
both ample honored(-them) and to-trust(-them) deemed-fit with-the of-all
ἀναγκαιότατα, στρατιωτῶν λόγον ὀλίγον ποιούμενος.
most-necessary(-things) of-soldiers account little making
τοῦτο τοῖς στρατιώταις κατὰ τοῦ βασιλέως ἔτεκε 35.3
this in-the soldiers against the emperor bore
μῖσος, ὅπερ ὑποτυφόμενον κατὰ βραχὺ καὶ αὐξανόμενον
hatred which smoldering by little and growing
εἰς νεωτέρων πραγμάτων ἐκίνησε τοὺς στρατιώτας
into of-revolution matters moved the soldiers
ἐπιθυμίαν, τούς τε ἄλλους καὶ κατ᾽ ἐξαίρετον τοὺς ταῖς
desire the both others and in particular the(-ones) in-the
Βρεττανικαῖς νήσοις ἐνιδρυμένους οἷα τῶν ἄλλων ἁπάντων
British islands settled as of-the others all
πλέον αὐθαδείᾳ καὶ θυμῷ νικωμένους. ἐκίνει δὲ πρὸς
more by-self-will and by-anger conquered moved and to

τοῦτο πλέον αὐτοὺς Μάξιμος Ἴβηρ τὸ γένος, Θεοδοσίῳ
this more them Maximus an-Iberian by-the race with-Theodosius
τῷ βασιλεῖ κατὰ τὴν Βρεττανίαν συστρατευσάμενος.
the emperor in — Britain having-campaigned
35.4 οὗτος δυσανασχετῶν ὅτι Θεοδόσιος ἠξίωτο
this-man being-indignant that Theodosius had-been-deemed-worthy
βασιλείας, αὐτὸς δὲ οὐδὲ εἰς ἀρχὴν ἔντιμον ἔτυχε προελθών,
of-rule himself and not-even into office honored happened having-advanced
ἀνήγειρε πλέον εἰς τὸ κατὰ τοῦ βασιλέως ἔχθος τοὺς
roused more into the against the emperor hatred the
στρατιώτας. οἳ δὲ ῥᾳδίως ἐξαναστάντες ἀνεῖπον βασιλέα τὸν
soldiers they and easily having-risen-up proclaimed emperor —
Μάξιμον, καὶ περιθέντες τὴν ἁλουργίδα καὶ τὸ διάδημα,
Maximus and having-put-around(-him) the purple and the diadem
παραχρῆμα τὸν Ὠκεανὸν ναυσὶ διαβάντες ταῖς τοῦ Ῥήνου
immediately the Ocean with-ships having-crossed at-the of-the Rhine
προσωρμίσθησαν ἐκβολαῖς. τῶν δὲ ἐν Γερμανίᾳ καὶ τοῖς
anchored mouths the and in Germany and in-the(-lands)
μετὰ ταύτην στρατοπέδων ἀσμενέστατα τῇ ἀναρρήσει
after it armies most-gladly to-the proclamation
θεμένων, ἀντικαθίστατο Γρατιανὸς εἰς μάχην αὐτῷ, μέρος
having-assented opposed Gratian in battle to-him part
οὐ μικρὸν ἔτι τοῦ στρατοπέδου συναγωνιζόμενον ἔχων.
not small still of-the army fighting-with(-him) having
35.5 ὡς δὲ συνῆλθον αἱ δυνάμεις ἀλλήλαις, ἀκροβολισμοὶ
when and came-together the forces with-one-another skirmishes
μὲν ἐπὶ πέντε μόνας ἡμέρας ἐγίνοντο, θεασάμενος δὲ ὁ
indeed for five only days took-place having-seen and —
Γρατιανὸς πρότερον μὲν τὴν Μαυρουσίαν ἅπασαν ἵππον
Gratian first indeed the Moorish all cavalry
ἀποχωρήσασαν καὶ Μάξιμον ἀναβοήσαντας Αὔγουστον,
having-gone-away and Maximus having-shouted Augustus

εἶτα καὶ τοὺς ἄλλους κατὰ βραχὺ τῇ μερίδι Μαξίμου
then also the others by little with-the party of-Maximus
θεμένους, ἀπογνοὺς ταῖς ἐλπίσι, τριακοσίους ἱππέας
having-sided having-despaired of-the hopes three-hundred horsemen
ἀναλαβὼν σὺν αὐτοῖς ἔφυγε προτροπάδην ἐπὶ τὰς Ἄλπεις.
having-taken with them fled headlong to the Alps
εὑρὼν δὲ ταύτας ἀφυλάκτους ἐπὶ Ῥαιτίας ἐχώρει 35.6
having-found and these unguarded to Raetia went
καὶ Νωρικὸν Παιονίας τε καὶ τὴν ἄνω Μυσίαν. οὐκ
and Noricum Paeonia both and the upper Moesia not
ἀμελήσας δὲ τῆς αὐτοῦ φυγῆς Μάξιμος τὸν ἵππαρχον
having-neglected and the his flight Maximus the master-of-horse
Ἀνδραγάθιον, ὁρμώμενον μὲν ἀπὸ τοῦ Εὐξείνου πόντου,
Andragathius coming indeed from the Euxine sea
δοκοῦντα δὲ εὖνουν εἶναι, μετὰ καρτερωτάτων ἵππων
seeming and well-disposed to-be with strongest horses
ἐκπέμπει διώξοντα. ὁ δὲ συντόνῳ ὁρμῇ διώκων,
sends-out going-to-pursue(-him) he and with-intense impulse pursuing
καταλαβών τε διαβαίνειν ἐθέλοντα τὴν ἐν τῇ Σιγιδούνῳ
having-overtaken both to-cross wishing the at — Singidunum
γέφυραν, κατασφάζει, οὕτω τε βεβαιοτέραν Μαξίμῳ τὴν
bridge slaughters(-him) thus and more-secure for-Maximus the
βασιλείαν πεποίηκεν.
rule he-has-made
Ἄξιον δὲ τῶν ἱστορουμένων τι μὴ παραλιπεῖν 36.1
worthy and of-the(-things) recorded something not to-pass-over
τῆς παρούσης ἀφηγήσεως οὐκ ἀλλότριον. ἐν τοῖς κατὰ
of-the present narrative not foreign in the at
τὴν Ῥώμην ἱερατικοῖς τέλεσιν ἔφερον οἱ ποντίφικες τὰ
— Rome priestly offices held the pontiffs the
πρῶτα. τούτους γεφυραίους ἄν τις καλέσειεν, εἰ πρὸς
first-place these bridge-makers — anyone would-call if into

τὴν Ἑλλάδα φωνὴν ἡ προσηγορία μετενεχθείη. ταύτης
the Greek tongue the title should-be-translated this
δὲ ἔτυχον τῆς ἐπικλήσεως ἐξ αἰτίας τοιᾶσδε. τῶν
and they-obtained the name from cause such the
ἀνθρώπων οὐδέπω τὴν διὰ τῶν ἀγαλμάτων ἐπισταμένων
men not-yet the through the statues knowing
τιμήν, ἐν Θεσσαλίᾳ πρῶτον ἐδημιουργήθη θεῶν δείκηλα.
honor in Thessaly first were-made of-gods images
36.2 ἑδῶν δὲ οὐκ ὄντων (ἄγνωστος γὰρ ἦν καὶ τούτων ἡ
shrines and not being unknown for was also of-these the
χρεία) τὰ τῶν θεῶν ἐκτυπώματα τῇ κατὰ τὸν Πηνειὸν
use the of-the gods figures on-the at the Peneus
γεφύρᾳ καθίδρυσαν, τοὺς ἱερᾶσθαι τοῖς θεοῖς λαχόντας
bridge they-set-up the(-ones) to-be-priests to-the gods having-been-allotted
ἐκ τῆς πρώτης καθιδρύσεως γεφυραίους ἐξονομάσαντες.
from the first setting-up bridge-makers having-named
τοῦτο παραλαβόντες ἀφ' Ἑλλήνων Ῥωμαῖοι τοὺς τὴν
this having-taken-over from Greeks Romans the(-ones) the
πρώτην παρ' αὐτοῖς ἱερατικὴν ἔχοντας τάξιν ποντίφικας
first among them priestly holding rank pontiffs
προσηγόρευσαν· οἷς συναριθμεῖσθαι τοὺς βασιλέας
called with-whom to-be-counted the kings
διὰ τὸ τῆς ἀξίας ὑπερέχον ἐνομοθέτησαν.
because-of the of-the dignity preeminent they-legislated
36.3 καὶ ἔτυχε τούτου Νομᾶς Πομπίλιος πρῶτος, καὶ πάντες
and obtained this Numa Pompilius first and all
ἑξῆς, οἵ τε λεγόμενοι ῥῆγες καὶ μετ' ἐκείνους Ὀκταβιανός
in-order the both called kings and after those Octavian
τε αὐτὸς καὶ οἱ μετ' ἐκεῖνον τὴν Ῥωμαίων διαδεξάμενοι
both himself and the(-ones) after him the of-Romans having-succeeded-to
μοναρχίαν· ἅμα γὰρ τῷ παραλαβεῖν ἕκαστον τὴν τῶν
monarchy at-once for with-the to-receive each the of-the

ὅλων ἀρχὴν ἡ ἱερατικὴ στολὴ παρὰ τῶν ποντιφίκων
universe rule the priestly robe by the pontiffs
αὐτῷ προσεφέρετο, καὶ παραχρῆμα ποντίφεξ μάξιμος
to-him was-brought and immediately pontifex maximus
ἀνεγράφετο, ὅπερ ἐστὶν ἀρχιερεὺς μέγιστος.
he-was-registered which is high-priest greatest
οἱ μὲν οὖν ἄλλοι πάντες αὐτοκράτορες ἀσμενέστατα 36.4
the indeed then other all emperors most-gladly
φαίνονται δεξάμενοι τὴν τιμὴν καὶ τῇ ἐπιγραφῇ χρησάμενοι
appear having-received the honor and the title having-used
ταύτῃ, ἐπειδὴ εἰς Κωνσταντῖνον ἦλθεν ἡ βασιλεία, καὶ
this when to Constantine came the rule and
ταῦτα τῆς ὀρθῆς ὁδοῦ τῆς περὶ τὰ θεῖα τραπεὶς
that from-the right road of-the about the divine(-things) having-turned
καὶ τὴν Χριστιανῶν ἑλόμενος πίστιν, καὶ μετ᾽ ἐκεῖνον
and the of-Christians having-chosen faith and after him
ἑξῆς οἱ ἄλλοι καὶ Οὐαλεντινιανός τε καὶ Οὐάλης.
in-order the others and Valentinian both and Valens
τῶν οὖν ποντιφίκων κατὰ τὸ σύνηθες προσαγαγόντων 36.5
the then pontiffs according-to the custom having-brought
Γρατιανῷ τὴν στολὴν ἀπεσείσατο τὴν αἴτησιν, ἀθέμιτον
to-Gratian the robe he-rejected the request unlawful
εἶναι Χριστιανῷ τὸ σχῆμα νομίσας. τοῖς τε ἱερεῦσι τῆς
to-be for-a-Christian the garb having-thought to-the and priests the
στολῆς ἀναδοθείσης φασὶ τὸν πρῶτον ἐν αὐτοῖς
robe having-been-given-back they-say the(-one) first among them
τεταγμένον εἰπεῖν ‘εἰ μὴ βούλεται ποντίφεξ ὁ βασιλεὺς
ranked to-say if not wishes pontifex the emperor
ὀνομάζεσθαι, τάχιστα γενήσεται ποντίφεξ μάξιμος.’
to-be-named very-soon will-become pontifex maximus

37.1 Ἡ μὲν οὖν Γρατιανοῦ βασιλεία ταύτην ἔσχε τὴν τελευτήν,
the indeed then of-Gratian reign this had the end
Μάξιμος δὲ τὴν βασιλείαν ἔχειν ἐν ἐχυρῷ πιστευσάμενος
Maximus and the rule to-hold in security having-trusted
ἔστειλε πρὸς Θεοδόσιον βασιλέα πρεσβείαν οὐ συγγνώμην
sent to Theodosius the-emperor an-embassy not pardon
αἰτοῦσαν ἐφ' οἷς εἰς Γρατιανὸν ἔπραξεν, ἀλλά τι
asking for what against Gratian he-had-done but something
καὶ βαρύτητος ἐν ἑαυτῇ φέρουσαν.
also of-weight in itself bearing

37.2 ἦν δὲ ὁ πρὸς τοῦτο σταλεὶς ὁ τοὺς βασιλικοὺς
was and the(-one) for this sent the(-man) the royal
φυλάττειν ἐπιτεταγμένος κοιτῶνας, οὐκ εὐνοῦχός τις ὢν
to-guard appointed bedchambers not eunuch some being
(οὐδὲ γὰρ εὐνούχους ὁ Μάξιμος ἐπιστῆναι τῇ τῆς αὐλῆς
nor for eunuchs — Maximus to-be-set-over the of-the court
ἠνέσχετο φυλακῇ), πρεσβύτης δὲ τῶν ἐκ νεότητος
endured guard an-old-man and of-the(-ones) from youth
αὐτῷ προσεδρευσάντων. ᾔτει δὲ τὸν Θεοδόσιον ἡ πρεσβεία
on-him having-attended asked and — Theodosius the embassy
σπονδὰς καὶ ὁμόνοιαν καὶ ὁμαιχμίαν κατὰ παντὸς πολεμίου
treaty and concord and alliance against every enemy
Ῥωμαίοις, ἢ ἀπειθοῦντι δυσμένειαν καὶ μάχην προήγγελλε.
to-Romans or to-him-disobeying enmity and war announced

37.3 Θεοδόσιος δὲ ὁ βασιλεὺς ἐδέχετό τε βασιλέα Μάξιμον εἶναι,
Theodosius and the emperor accepted both emperor Maximus to-be
καὶ εἰκόνων αὐτῷ κοινωνεῖν καὶ βασιλέως προσηγορίας
and of-images with-him to-share and of-emperor's title
ἠξίου, λάθρᾳ μὲν τὸν κατ' αὐτοῦ πραγματευόμενος
deemed-worthy secretly indeed the against him preparing
πόλεμον, παντὶ δὲ θωπείας εἴδει καὶ θεραπείας αὐτὸν
war in-every and of-flattery form and of-courting him

καταστρατηγῶν, ὥστε καὶ Κυνηγίῳ τῷ τῆς αὐλῆς ὑπάρχῳ
outgeneraling so-that also to-Cynegius the of-the court prefect
πεμπομένῳ κατὰ τὴν Αἴγυπτον, προστεταγμένῳ τε πᾶσι
being-sent to — Egypt having-been-ordered both to-all
τὴν εἰς τὰ θεῖα θρησκείαν ἀπαγορεῦσαι καὶ κλεῖθρα
the toward the divine(-powers) worship to-forbid and bars
τοῖς τεμένεσιν ἐπιθεῖναι, τὴν εἰκόνα Μαξίμου δεῖξαι τοῖς
on-the precincts to-put the image of-Maximus to-show to-the
Ἀλεξανδρεῦσιν ἐπέταξεν, ἀναθεῖναί τε δημοσίᾳ ταύτην,
Alexandrians he-ordered to-set-up both publicly it
καὶ ὅτι συμβασιλεύσειν ἔλαχεν αὐτῷ προφωνῆσαι
and that to-reign-with he-had-been-allotted him to-proclaim
τῷ δήμῳ. Κυνήγιος μὲν οὖν καὶ ἐν τούτῳ τὸ
to-the people Cynegius indeed then also in this the(-thing)
προσταχθὲν ἐπλήρου καὶ τῶν κατὰ τὴν ἑῴαν καὶ τὴν
ordered fulfilled and of-the in the east and —
Αἴγυπτον ἅπασαν ἱερῶν καὶ αὐτὴν δὲ τὴν Ἀλεξάνδρειαν
Egypt all temples and itself too — Alexandria
ἀπέκλεισε τὰς εἰσόδους, θυσίας τε εἶρξε τὰς ἐξ αἰῶνος
shut the entrances sacrifices both barred the from all-time
νενομισμένας καὶ πᾶσαν πάτριον ἁγιστείαν.
customary and every ancestral rite
Τὰ μὲν οὖν ἐξ ἐκείνου μέχρι τοῦδε τῇ Ῥωμαίων 38.1
the(-things) indeed then from that-time up-to now to-the of-Romans
ἐπικρατείᾳ συμβάντα δείξει τῶν πραγμάτων ἡ κατὰ μέρος
dominion having-befallen will-show of-the affairs the in detail
ἀφήγησις. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἔθνος τι Σκυθικὸν
narration under and the same times a-people some Scythian
ὑπὲρ τὸν Ἴστρον ἐφάνη πᾶσιν ἄγνωστον τοῖς ἐκεῖσε νομάσιν·
beyond the Ister appeared to-all unknown the there nomads
ἐκάλουν δὲ Γροθίγγους αὐτοὺς οἱ ταύτῃ βάρβαροι. πλῆθος
called and Grothingi them the there barbarians multitude

τοίνυν ὄντες καὶ ὡπλισμένοι κατὰ τὸ δέον, καὶ προσέτι
therefore being and armed according-to the needful and besides
γε ῥώμῃ διαφέροντες, ῥᾷστα διαδραμόντες τοὺς ἐν μέσῳ
at-least in-strength excelling most-easily having-overrun the in middle
βαρβάρους παρ᾽ αὐτὴν ἐληλύθασι τοῦ Ἴστρου τὴν ὄχθην,
barbarians to itself have-come of-the Ister the bank
καὶ τὴν διάβασιν αὐτοῖς ᾔτουν ἐπιτραπῆναι τοῦ ποταμοῦ.
and the crossing for-themselves asked to-be-permitted of-the river

38.2 Πρόμωτος δὲ τὴν τῶν ἐκεῖσε στρατοπέδων ἐπιτετραμμένος
Promotus and the of-the there armies entrusted-with
ἀρχήν, συμπαρατείνας ἐπὶ μήκιστον τῇ ᾐόνι τοῦ ποταμοῦ τὰ
command having-stretched-along to greatest-length the shore of-the river the
στρατόπεδα τὴν πάροδον τοῖς βαρβάροις ἀπέκλειε. ταῦτα
armies the passage to-the barbarians shut-off these-things
δὲ πράττων καὶ ἐφ᾽ ἑτέραν ὁδὸν ἦλθε τοιάνδε. συγκαλέσας
and doing also to another road came such having-summoned
τῶν αἰσθανομένων τῆς ἐκείνων διαλέκτου τινάς, οἷς
of-the(-ones) understanding the of-those language some whom
μάλιστα ἐγνώκει τὰ τοιαῦτα θαρρεῖν, ἐπὶ προδοσίᾳ
most he-knew in-the such-things to-trust for betrayal
καθεῖναι λόγους τοῖς βαρβάροις τούτοις ἀφίησιν.
to-make-overtures words to-the barbarians to-these he-sends

38.3 οἳ δὲ ὑπὲρ τοῦ δοθῆναι τὸν Ῥωμαίων στρατηγὸν μετὰ
they and for the to-be-given-up the of-Romans general with
τοῦ στρατεύματος ἁδρὸν ἀπῄτουν μισθόν. τῶν δὲ βαρβάρων
the army large demanded pay the and barbarians
πρὸς τὸ τοῦ μισθοῦ πλῆθος ἀρκεῖν οὐ φησάντων, πίστιν
for the of-the pay size to-suffice not having-said faith
τοῖς οἰκείοις λόγοις ἐμποιοῦντες οἱ ἐσταλμένοι παρὰ
to-the own words creating the(-ones) sent by

τοῦ στρατηγοῦ τοῖς ἐξ ἀρχῆς προταθεῖσιν ἐπέμενον,
the general to-the(-terms) from beginning proposed held
σμικρῦναι κατά τι τὸ κέρδος οὐκ ἀνεχόμενοι.
to-lessen in some-respect the gain not enduring
συνδραμόντων δὲ εἴς τι ποσὸν ἀμφοτέρων, ἐγίνοντο μὲν ἐν 38.4
having-come-together and to some amount both there-were indeed in
παραβύστῳ περὶ προδοσίας συνθῆκαι, καὶ συνεδόκει μέρος
secret about betrayal agreements and it-was-agreed part
μέν τι τοῦ μισθοῦ παραχρῆμα κομίσασθαι τοὺς προδότας,
indeed some of-the pay immediately to-receive the traitors
τὸ δὲ λειπόμενον τῷ καιρῷ φυλάξαι τῆς νίκης. ἐπεὶ δὲ καὶ
the and remainder for-the time to-keep of-the victory when and also
ὅπως ἀρθῆναι τὰ σημεῖα ἔδει καὶ τὸν καιρὸν ἔταξαν καθ'
how to-be-raised the signals it-was-needed and the time they-fixed at
ὃν ἐχρῆν τὰς προδοσίας εἰς ἔργον ἐλθεῖν, ἀπαγγέλλουσι
which it-was-necessary the betrayals into deed to-come they-report
τῷ στρατηγῷ τὸ συγκείμενον, καὶ ὡς νυκτὸς
to-the general the(-thing) agreed and that night
ἐπιγενομένης οἱ βάρβαροι μέλλοιεν ἔργου τε ἅπτεσθαι καὶ
having-come-on the barbarians were-about of-work both to-take-hold and
τὴν διάβασιν κατὰ τοῦ Ῥωμαϊκοῦ ποιεῖσθαι στρατεύματος.
the crossing against the Roman to-make army
οἱ μὲν οὖν βάρβαροι τὸ τῆς δυνάμεως ἀκμαιότατον 38.5
the indeed then barbarians the of-the force flower
πλήθει μονοξύλων ἐμβιβάσαντες ἔταξαν πρῶτον διαβῆναι
into-multitude of-dugouts having-embarked appointed first to-cross
καὶ τοῖς στρατιώταις ἔτι καθεύδουσιν ἐπελθεῖν, εἶτα ἐπὶ
and the soldiers still sleeping to-attack then after
τούτοις τοὺς ἐν ἰσχύϊ μέσην ἔχοντας τάξιν, ὡς ἂν τοῖς
these the(-ones) in strength middle holding rank so-that — with-the
πρώτοις ἤδη τῆς ἐπιθέσεως ἀρξαμένοις συνεπιλάβοιντο,
first already the attack having-begun they-might-join-in

καὶ οὕτως ἑξῆς τὴν ἄχρηστον ἅπασαν ἡλικίαν, ἐπὶ
and thus in-order the useless all age on
κατωρθωμένοις ἤδη πράγμασιν ὡράζεσθαι μέλλουσαν.
accomplished already affairs to-pride-itself being-about
39.1 ὁ δὲ στρατηγὸς Πρόμωτος ἐκ τῶν ἐπὶ προδοσίᾳ
the and general Promotus from the(-ones) for betrayal
σταλέντων ἅπαντα ταῦτα προδιδαχθεὶς πρὸς τὰ
sent all these-things having-been-told-beforehand against the(-plans)
τοῖς βαρβάροις σκεφθέντα παρεσκευάζετο, τὰς ναῦς
by-the barbarians considered prepared the ships
ἀντιπρῴρους στήσας ἀλλήλαις, καὶ τὸ μὲν βάθος πλοίοις
prow-to-prow having-set to-one-another and the indeed depth with-ships
τρισὶ πληρώσας, φροντίσας δὲ μήκους ὅτι μάλιστα
three having-filled having-taken-thought and of-length as most
πλείονος ἐπὶ σταδίους εἴκοσι τοῦ ποταμοῦ τὴν ἠόνα
greater for stades twenty of-the river the shore
κατέλαβε, τοῖς ἐναντίοις ἐπὶ τοσοῦτο τὴν διάβασιν
occupied for-the opponents for so-much the crossing
ἀποκλείων, τοῖς δὲ λοιποῖς ἁπάντων μονοξύλοις ἤδη
shutting-off the and rest meeting dugouts already
διαβαίνειν ἐπιχειροῦσι, καὶ οἷς ἐνετύγχανε καταδύων.
to-cross attempting and which he-came-upon sinking
ἀσελήνου δὲ τῆς νυκτὸς οὔσης ἀγνοοῦντες οἱ βάρβαροι τὴν
moonless and the night being not-knowing the barbarians the
τῶν Ῥωμαίων παρασκευὴν ἔργου τε ἥπτοντο καὶ σιγῇ
of-the Romans preparation of-work both took-hold and in-silence
καὶ ἡσυχίᾳ πολλῇ τοῖς μονοξύλοις ἐνέβαινον, ἀγνοεῖν
and quiet much into-the dugouts embarked to-be-ignorant
πάντῃ τὰ βεβουλευμένα τοὺς Ῥωμαίους ἡγούμενοι.
entirely the(-things) planned the Romans thinking

τῶν δὲ σημείων ἀρθέντων οἱ τὴν προδοσίαν 39.2
the and signals having-been-raised the(-ones) the betrayal
μηχανησάμενοι, τῷ στρατηγῷ προμηνύσαντες ἕκαστα
having-contrived to-the general having-revealed-beforehand each-thing
καὶ ἁρμοσάμενοι τῇ τῶν πολεμίων παρασκευῇ, ταῖς τε
and having-adjusted to-the of-the enemies preparation with-the both
ναυσὶ μεγάλαις οὔσαις καὶ εἰρεσίᾳ καρτερωτάτῃ χρωμέναις
ships great being and rowing strongest using
ἐπέπλεον καὶ τὰ προστυγχάνοντα πάντα κατέδυον,
sailed-against(-them) and the(-craft) chancing-upon all sank
οὐδενὸς τῶν ἀποπιπτόντων διὰ τὸ τῆς πανοπλίας
none of-the(-ones) falling-off because-of the of-the full-armor
βάρος οἵου τε γενομένου σωθῆναι.
weight able — having-become to-be-saved
τὰ δὲ τοὺς ταῖς ναυσὶ περιπλέοντας διαφυγόντα 39.3
the and the(-ones) with-the ships sailing-around having-escaped
μονόξυλα, καὶ τοῖς εἰς μῆκος συγκειμένοις πλοίοις
dugouts and upon-the into length set-together vessels
περιπεσόντα, παντὶ τῷ προσπεσόντι βαλλόμενα σὺν
having-fallen by-every the(-missile) striking being-pelted with
αὐτοῖς ἀπώλετο τοῖς ἀνδράσιν, οὐδενὸς ὑπερβῆναι τὸ
themselves perished the men none to-pass-over the
τῶν Ῥωμαϊκῶν πλοίων διάφραγμα δυνηθέντος. φόνου δὲ
of-the Roman vessels barrier having-been-able slaughter and
πολλοῦ γενομένου καὶ οἷος οὔπω πρότερον ἐν ναυμαχίᾳ
great having-happened and such-as never before in sea-fight
συνέβη, σωμάτων μὲν ὁ ποταμὸς ἐπληροῦτο καὶ ὅπλων
happened with-bodies indeed the river was-filled and with-arms
ὅσα φύσιν εἶχεν ὑπὲρ τοῦ ὕδατος αἰωρεῖσθαι, εἰ δέ
as-many-as nature had above the water to-float if and

πού τινες οἷοί τε γεγόνασι διαβῆναι νηχόμενοι, τοῖς
anywhere some able — have-become to-cross swimming upon-the
περὶ τὴν ᾐόνα τοῦ ποταμοῦ πεζοῖς ἐμπεσόντες ἀπώλοντο.
about the shore of-the river foot-soldiers having-fallen they-perished

39.4 τοῦ δὲ ἀκμάζοντος παντὸς ἐν τοῖς βαρβάροις
the and flower all among the barbarians
διαφθαρέντος, ἐπὶ τὴν λείαν ἐχώρουν οἱ στρατιῶται,
having-been-destroyed to the booty went the soldiers
παιδάρια μὲν ἀπάγοντες καὶ γύναια, καὶ τῆς ἀποσκευῆς
children indeed leading-off and women and of-the baggage
γενόμενοι κύριοι. τότε δὴ καὶ ὁ στρατηγὸς Πρόμωτος οὐ
having-become masters then indeed also the general Promotus not
πόρρω που τὸν βασιλέα Θεοδόσιον ὄντα μετακαλέσας
far somewhere the emperor Theodosius being having-summoned
ἐποιεῖτο μάρτυρα τοῦ κατορθώματος.
made(-him) witness of-the success

39.5 ὃ δὲ τῶν αἰχμαλώτων τὸ πλῆθος καὶ τὸν ὄγκον
he and of-the captives the multitude and the mass
τῶν λαφύρων τεθεαμένος ἀνῆκέ τε τοὺς αἰχμαλώτους
of-the spoils having-seen released both the captives
ἀδέτους καὶ δωρεαῖς ἐφιλοφρονεῖτο, διὰ τῆς τοιαύτης
unbound and with-gifts treated-kindly through the such
φιλανθρωπίας εἰς τὸ αὐτομολῆσαι προτρέπων, καὶ ἄλλως
humanity to the to-desert urging and otherwise
εἰς τὸν κατὰ Μαξίμου συνοίσοντάς οἱ πόλεμον. ὁ μὲν
for the against Maximus going-to-help him war — indeed
οὖν Πρόμωτος ἐπέμενε τῇ τῆς Θρᾴκης ἐφεστὼς φυλακῇ
then Promotus remained over-the — of-Thrace set guard
καὶ πρὸς τὸν εἰρημένον πόλεμον ἐν παραβύστῳ γινόμενος
and for the mentioned war in secret becoming

εὐτρεπής· ἕτερον δέ τι παραπλήσιον ἐν τῷ αὐτῷ χρόνῳ
ready other and some similar in the same time
συμβὰν ἄξιον ἀφηγήσασθαι.
having-happened worthy to-narrate

Πόλις ἔστιν ἐν τῇ κατὰ Θράκην Σκυθίᾳ Τομεὺς 40.1
a-city there-is in the in Thrace Scythia Tomis
ὀνομαζομένη. τῶν ἐνιδρυμένων ταύτῃ στρατιωτῶν ἡγεῖτο
named of-the stationed in-this soldiers led
Γερόντιος, ἀνὴρ καὶ ῥώμῃ σώματος καὶ μελέτῃ πρὸς
Gerontius a-man both in-strength of-body and in-practice for
πᾶσαν πολεμικὴν χρείαν ἀρκῶν. ἦσαν δὲ πρὸ ταύτης τῆς
every military need sufficing were and before this the
πόλεως ὑπὸ βασιλέως ἀριστίνδην ἐκστάντες βάρβαροι,
city by the-emperor by-merit picked barbarians
τῇ τε τῶν σωμάτων ἀνατρέχοντες εὐφυΐᾳ καὶ ἀνδρείᾳ
in-the both of-the bodies flourishing good-condition and in-courage
πολὺ τῶν ἄλλων διαφέροντες.
much than-the others excelling

οὗτοι καὶ σιτήσεων ὑπὲρ τοὺς στρατιώτας καὶ ἄλλων παρὰ 40.2
these both rations above the soldiers and other from
βασιλέως ἠξιωμένοι δωρεῶν οὐκ εὐνοίᾳ τὰς εἰς αὐτοὺς
the-emperor deemed-worthy gifts not with-goodwill the toward them
ἀμείβεσθαι διενοοῦντο τιμὰς ἀλλὰ τῇ εἰς τὸν ἄρχοντα
to-repay intended honors but with-the toward the commander
ὑπεροψίᾳ καὶ τῇ περὶ τοὺς στρατιώτας καταφρονήσει.
contempt and the about the soldiers disdain
ταύτης αὐτῶν αἰσθανόμενος τῆς προαιρέσεως ὁ Γερόντιος,
this their perceiving of-the purpose — Gerontius
καὶ ὡς ἐγχειρῆσαι διανοοῦνται τῇ πόλει καὶ συνταράξαι
and that to-attack they-intend the city and to-throw-into-confusion
τὰ καθεστῶτα, κοινοῦται τῶν στρατιωτῶν τοῖς
the established(-order) communicates of-the soldiers with-the(-ones)

φρονήσει μάλιστα διαφέρουσιν, ἐπεξελθεῖν τῇ τῶν
in-prudence most excelling to-proceed-against the of-the
βαρβάρων ἀσελγείᾳ καὶ ὕβρει βουλόμενος.
barbarians licentiousness and insolence wishing

40.3 ὡς δὲ διὰ δειλίαν ἑώρα ὀκνοῦντας καὶ αὐτὸ τὸ
as and because-of cowardice he-saw(-them) shrinking and the-very the
κίνημα τῶν βαρβάρων δεδιότας, ἀναλαβὼν τὰ ὅπλα καὶ
stirring of-the barbarians fearing having-taken-up the arms and
τῶν ὑπασπιστῶν σφόδρα εὐαριθμήτους παντὶ τῷ τῶν
of-the shield-bearers very few against-all the of-the
βαρβάρων ἀντετάττετο πλήθει, καὶ τὰς πύλας ἀναπετάσας
barbarians ranged-himself multitude and the gates having-opened
ἀπήντα, τῶν στρατιωτῶν ἢ καθευδόντων ἔτι καὶ
went-to-meet(-them) the soldiers either sleeping still and
τῷ ὄκνῳ πεπεδημένων ἢ πρὸς τὸ τεῖχος ἀναδραμόντων
by-the hesitation fettered or to the wall having-run-up
καὶ τὰ γινόμενα θεωμένων.
and the(-things) happening watching

40.4 τοῖς δὲ βαρβάροις ἐπῆλθε γελᾶν τὴν τοῦ Γεροντίου
to-the and barbarians it-occurred to-laugh-at the — of-Gerontius
παραφροσύνην, καὶ θανατᾶν οἰόμενοι τὸν ἄνθρωπον
madness and to-long-for-death thinking the man
ἐπέπεμπον αὐτῷ τοὺς ἐν ἑαυτοῖς ἀλκῇ διαφέροντας.
they-sent-against him the(-ones) among themselves in-strength excelling
ὃ δὲ τῷ πρῶτον ἐπελθόντι συμπλακεὶς καὶ τὴν
he and with-the(-one) first attacking having-grappled and the
ἀσπίδα συντόμως χειρίσας ἐμάχετο καρτερῶς, ἄχρις ὅτε
shield deftly having-handled fought stoutly until —
τῶν ὑπασπιστῶν τις, ἰδὼν συμπεπλεγμένους αὐτοὺς
of-the shield-bearers someone having-seen locked them

ἀλλήλοις, ἀπέκοψε τῷ ξίφει τοῦ βαρβάρου τὸν ὦμον
with-one-another cut-off with-the sword of-the barbarian the shoulder
καὶ τοῦ ἵππου κατήγαγε.
and from-the horse brought-down
καταπλαγέντων δὲ τῶν βαρβάρων τὸ τοῦ ἀνδρὸς 40.5
having-been-astonished and the barbarians at-the of-the man
ἀνδρεῖόν τε ἅμα καὶ θαρραλέον, ἅμα τε ὁ Γερόντιος
courage both at-once and boldness at-once both — Gerontius
ἄλλοις τῶν πολεμίων ἐπῄει, καὶ θεωροῦντες οἱ ἐκ τοῦ
others of-the enemies attacked and seeing the(-ones) from the
τείχους τὰ πραττόμενα παρὰ τοῦ σφῶν στρατηγοῦντος
wall the(-deeds) being-done by the their commanding(-general)
ἀνεμνήσθησαν τοῦ Ῥωμαίων ὀνόματος, καὶ ἐπεξελθόντες
remembered the of-Romans name and having-sallied-out
ἤδη καταπεπληγμένους τοὺς ἐμπεσόντας κατέσφαξαν·
already astonished the(-ones) having-fallen-in slaughtered
τοὺς δὲ ἀποδράντας ἐδέχετο παρὰ Χριστιανῶν τιμώμενον
the(-ones) and having-fled-away received by Christians honored
οἰκοδόμημα, νομιζόμενον ἄσυλον.
a-building considered inviolable
ὁ μὲν οὖν Γερόντιος τῶν ἐπηρτημένων τὴν Σκυθίαν 40.6
— indeed then Gerontius from-the hanging-over — Scythia
ἐλευθερώσας κινδύνων, καὶ τῶν ἐπαναστάντων αὐτῇ
having-freed dangers and the having-risen-against it
βαρβάρων ἀνδρείας ὑπερβολῇ καὶ μεγαλοψυχίᾳ κρατήσας,
barbarians by-courage's excess and magnanimity having-mastered
τὰς παρὰ τοῦ βασιλεύοντος ἀμοιβὰς προσεδέχετο·
the from the reigning(-emperor) rewards expected
Θεοδόσιος δὲ ὁ βασιλεὺς οὐ μετρίως ἀγανακτήσας
Theodosius and the emperor not moderately having-been-indignant
ὅτι βάρβαροι τοσαύτης ἠξιωμένοι παρ' αὐτοῦ τιμῆς
that barbarians such deemed-worthy by him honor

ἀνῃρέθησαν, εἰ καὶ τοῖς πράγμασιν ἔτυχον λυμηνάμενοι,
had-been-killed if even the affairs they-happened having-harmed
συναρπάζει τε τὸν Γερόντιον παραχρῆμα καὶ λόγον τῆς
seizes both — Gerontius immediately and account of-the
ὑπὲρ Ῥωμαίων ἀριστείας ἀπῄτει.
for Romans prowess demanded

40.7 τοῦ δὲ καὶ τὴν κατὰ Ῥωμαίων αὐτῶν ἐπανάστασιν
he and also the against Romans themselves rising
ἐπελέγχοντος, διεξιόντος τε τὰς ἁρπαγὰς καὶ τὴν τῶν
proving going-through both the plunderings and the of-the
οἰκητόρων ἀπώλειαν, τούτων μὲν οὐδενὶ προσεῖχεν
inhabitants destruction of-these indeed to-none attended
ὁ βασιλεύς, ἐνίστατο δὲ τῷ μὴ διὰ τὸ κοινῇ
the emperor insisted and on-the not because-of the in-common
λυσιτελὲς ἀλλ' ἐπιθυμίᾳ τῶν παρὰ βασιλέως αὐτοῖς
profitable but by-desire of-the(-things) by the-emperor to-them
δεδωρημένων, ὡς ἂν μὴ ἐλεγχθείη ταῦτα κερδάνας,
given so-that — not he-should-be-convicted these-things having-gained
ἐκποδὼν αὐτοὺς ἐθελῆσαι ποιῆσαι.
out-of-the-way them to-have-wished to-make

40.8 τοῦ δὲ καὶ ταῦτα τῷ δημοσίῳ λέγοντος πεπομφέναι
he and also these-things to-the treasury saying to-have-sent
μετὰ τὴν ἐκείνων ἀναίρεσιν (ἦν δὲ περιαυχένια χρυσᾶ
after the of-those killing were and collars golden
παρὰ βασιλέως αὐτοῖς δεδομένα πρὸς κόσμον), μόλις ἦν
by the-emperor to-them given for adornment scarcely what
εἶχε διανείμας τοῖς εὐνούχοις οὐσίαν οἷός τε γέγονε
he-had having-distributed to-the eunuchs property able — he-became
τῶν περιεστώτων ἐξαιρεθῆναι κινδύνων, ἄξια τῆς εἰς
from-the surrounding to-be-rescued dangers worthy of-the toward
Ῥωμαίους εὐνοίας ἐκτίσας τὰ ἐπίχειρα.
Romans goodwill having-paid the wages

Τῶν δὲ ὑπὸ τὴν Θεοδοσίου βασιλείαν οὕτω 41.1
the(-affairs) and under the of-Theodosius reign thus
διεφθαρμένων, καὶ σπουδαίου μὲν οὐδενὸς εἰς ἀρετὴν
having-been-corrupted and earnest indeed nothing for virtue
φέροντος ἐπαινουμένου, παντὸς δὲ τρυφῆς καὶ
bearing being-praised every and of-luxury and
ἀκολασίας εἴδους κατὰ πῆχυν (τὸ λεγόμενον) ἐφ'
licentiousness form by cubit the(-saying) said on
ἑκάστης ἐπιδιδόντος, οἱ τὴν ἐν Συρίᾳ μεγάλην
each(-day) increasing the(-ones) the in Syria great
Ἀντιόχειαν οἰκοῦντες, οὐ φέροντες τὴν ἐπὶ τοῖς
Antioch inhabiting not bearing the on the
δημοσίοις φόροις ὁσημέραι παρὰ τῶν πρακτόρων
public taxes daily by the collectors
ἐπινοουμένην προσθήκην, εἰς στάσιν ἀνέστησαν, καὶ τοὺς
devised addition into revolt rose and the
ἀνδριάντας αὐτοῦ τε τοῦ βασιλέως καὶ τῆς
statues of-himself both the emperor and of-the(-one)
τούτῳ συνοικούσης αἰσχρῶς καθελόντες φωνὰς
with-him living shamefully having-pulled-down utterances
ἀφῆκαν τῶν μὲν πραττομένων οὐκ ἀναξίας,
let-go of-the(-things) indeed being-done not unworthy
οὐκ ἔξω μέντοι στωμυλίας καὶ τῆς συνήθους αὐτοῖς
not outside however of-wordiness and of-the customary to-them
ἀστειότητος.
wit

ἐπεὶ δὲ τοῖς παρ' αὐτῶν γεγενημένοις ὁ 41.2
when and by-the(-things) by them done the
βασιλεὺς κινηθεὶς ἠπείλει τῷ πταίσματι δίκην
emperor moved threatened on-the fault penalty
ἀξίαν ἐπιθεῖναι, δέει τῆς βασιλέως ὀργῆς ἐδόκει
worthy to-impose by-fear of-the emperor's anger it-seemed-good

τῇ βουλῇ πρέσβεις ἐκπέμπειν, ὑπὲρ ὧν ὁ
to-the council envoys to-send-out for what the
δῆμος ἔπραξεν ἀπολογησομένους. αἱροῦνται τοίνυν
people did going-to-defend(-it) they-choose therefore
Λιβάνιόν τε τὸν σοφιστήν, οὗ τὸ κλέος ἐκ τῶν
Libanius both the sophist whose the fame from the
καταλελειμμένων ὑπ᾽ αὐτοῦ κηρύττεται λόγων, καὶ
left by him is-proclaimed speeches and
Ἱλάριον γένους τε λαμπρότητι καὶ παντὶ παιδείας εἴδει
Hilarius of-family both in-brilliance and in-every of-learning form
προήκοντα.
excelling

41.3 καὶ ὁ μὲν σοφιστὴς τὸν περὶ τῆς στάσεως
and the indeed sophist the about the revolt
αὐτῷ τε βασιλεῖ καὶ τῇ γερουσίᾳ λόγον
to-the-very both emperor and to-the senate speech
εἰπὼν ἴσχυσε τὸν βασιλέα μεταστῆσαι τῆς
having-spoken prevailed the emperor to-remove from-the
κατὰ Ἀντιοχέων ὀργῆς, ὥστε ἀμέλει τούτῳ καὶ
against Antiochenes anger so-that doubtless to-this also
τὸν περὶ τῶν διαλλαγῶν ἐπιθεῖναι, τελέως τοῦ
the(-speech) about the reconciliations to-add completely the
βασιλέως τὸ πρὸς τὴν πόλιν ἔχθος ἀποθεμένου·
emperor the toward the city hatred having-laid-aside
Ἱλάριος δὲ διὰ τὸ μέγεθος τῆς ἀρετῆς ἐπαίνων
Hilarius and because-of the greatness of-the virtue of-praises
ἀξιωθεὶς ἄρχειν παρὰ βασιλέως ἐτάττετο Παλαιστίνης
deemed-worthy to-govern by the-emperor was-appointed Palestine
ἁπάσης.
all

Maximus resolves to take Valentinian's realm. He wins over Valentinian's envoy Domninus with gifts and an escort of troops, and following it passes the Alps unopposed to Aquileia. Valentinian and his mother Justina flee by sea to Thessalonica. Theodosius shrinks from war and proposes to negotiate, until Justina sets her daughter Galla before him; when he asks to marry her, Justina consents only if he avenges Gratian and restores Valentinian. When the prefect Cynegius dies, he makes Tatianus prefect and Tatianus' son Proclus prefect of the city, and puts Promotus over the horse and Timasius over the foot; barbarians bribed by Maximus are hunted down in the Macedonian marshes, and Justina and her children are sent to Rome. Andragathius' fleet misses them; Theodosius surprises Maximus at Aquileia and has him executed, Arbogast kills Maximus' son Victor, Andragathius drowns himself, and Valentinian receives all his father ruled.

Τῶν δὲ κατὰ τὴν ἑῴαν καὶ Θρᾴκην καὶ Ἰλλυρίδα 42.1
the(-affairs) and in the east and Thrace and Illyricum
ὄντων ἐν τούτοις, Μάξιμος οὐ κατὰ τὴν ἀξίαν οἰόμενος
being in these-things Maximus not according-to the merit thinking
αὑτῷ τὰ πράγματα φέρεσθαι μόνων ἄρχοντι τῶν
for-himself the affairs to-go only ruling the
ὑπὸ Γρατιανῷ πρότερον τεταγμένων ἐθνῶν, διενοεῖτο
under Gratian before ranged peoples intended
παραλῦσαι τὸν νέον Βαλεντινιανὸν τῆς βασιλείας, εἰ
to-remove the young Valentinian from-the rule if
μὲν δύναιτο, πάσης, εἰ δὲ τούτου διαμάρτοι, μέρος
indeed he-could all if and of-this he-should-fail part
γοῦν αὐτῆς, ὅσον ἂν οἷός τε γένοιτο, οἰκειώσασθαι.
at-any-rate of-it as-much-as — able — he-might-be to-appropriate
καὶ ταύτῃ κεκρατημένος τῇ γνώμῃ διαβῆναι τὰς Ἄλπεις 42.2
and by-this mastered the purpose to-cross the Alps
καὶ ἐπὶ τὴν Ἰταλίαν χωρῆσαι παρεσκευάζετο. θεωρῶν δὲ
and to — Italy to-advance prepared observing and

ὡς διὰ στενῆς ὁδοῦ καὶ τραχυτάτων καὶ ἀβάτων ὀρῶν
that through narrow road and most-rugged and impassable mountains
ἀνάγκη ποιήσασθαι τὴν ὁδοιπορίαν, διαδέχεται δὲ ταῦτα
necessity to-make the journey succeed and these
τέλματα καὶ ἕλη, ὁδοιπόροις σχολαίτερον διιοῦσιν, οὐχ
swamps and marshes for-travelers more-slowly passing-through not
ὅτι στρατιᾷ τοσαύτῃ διέξοδον ἐνδιδόντα, τὸ πρακτέον εἰς
that for-an-army so-great passage granting the to-be-done to
ἀμείνονα βουλὴν ἀνετίθετο.
better counsel he-referred

42.3 τοῦ δὲ Βαλεντινιανοῦ πρεσβείας ἐκ τῆς Ἀκυληίας
— and Valentinian embassy from — Aquileia
χρωμένου καὶ περὶ βεβαιοτέρας εἰρήνης ἀσφάλειαν αὑτῷ
employing and about firmer peace security to-himself
δοθῆναι παρακαλοῦντος, ἐτίθετο ταῖς αἰτήσεσι Μάξιμος,
to-be-given urging assented to-the requests Maximus
δεῖσθαι τούτου καὶ αὐτὸς ὅτι μάλιστα ποιούμενος. πέμπει
to-need this also himself as most making(-out) sends
οὖν Δομνῖνον ἐπὶ τούτῳ Οὐαλεντινιανός, Σύρον μὲν ὄντα
then Domninus for this Valentinian a-Syrian indeed being
τὸ γένος, ἐκ δὲ τοῦ βελτίονος αὐτῷ γνώριμον ὄντα·
by-the race from and the better(-footing) to-him known being

42.4 παραδυναστεύων γὰρ αὐτῷ πίστει καὶ πραγμάτων
having-influence for with-him in-faith and of-affairs
ἐμπειρίᾳ προέχειν τῶν ἄλλων ἐδόκει· καὶ ἄλλως ὅσα
in-experience to-surpass the others he-seemed and otherwise as-many-as
ὁ βασιλεὺς οὐδενὸς εἰδότος ἄλλου πράττειν ἐβούλετο,
the emperor no-one knowing else to-do wished
τούτῳ κατ᾽ ἐξαίρετον ἐγνώκει θαρρεῖν. ἐλθὼν
in-this-man in particular he-had-resolved to-trust having-come
οὖν ὡς τὸν Μάξιμον ὁ Δομνῖνος, καὶ ὅσα τῆς
then to — Maximus — Domninus and as-many-as of-the

πρεσβείας ἦν ἀπαγγείλας, ἠξιοῦτο θεραπείας καὶ
embassy was having-reported was-deemed-worthy of-courting and
φιλοφροσύνης παντοίας· τιμῆς τε γὰρ αὐτὸν ὁ Μάξιμος
kindness of-all-sorts with-honor both for him — Maximus
ὑπερβαλλούσης ἠξίου, καὶ ὄγκῳ δωρεῶν ἐπλήρου
exceeding deemed-worthy and with-mass of-gifts filled
τοσοῦτον ὥστε Δομνῖνον μηδένα τοιοῦτον ἔσεσθαι τῷ
so-much that Domninus no-one such to-be to-the
βασιλεῖ Οὐαλεντινιανῷ φίλον ὑπονοῆσαι.
emperor Valentinian friend to-suspect
τοσοῦτον δὲ ἴσχυσεν ὁ Μάξιμος τὸν Δομνῖνον παραγαγεῖν 42.5
so-much and prevailed — Maximus — Domninus to-mislead
ὥστε καὶ μέρος ἧς εἶχε στρατιᾶς συμπαραπέμψαι,
that also part of-what he-had army to-send-along
συνοῖσον εἰς ἐπικουρίαν τῷ βασιλεῖ κατὰ τῶν
going-to-be-of-help for aid to-the emperor against the
ἐπικειμένων τοῖς ὑπ' αὐτὸν Παίοσι βαρβάρων. ἐπὶ τούτοις
pressing-on the under him Paeonians barbarians on these
ἀναχωρήσαντος τοῦ Δομνίνου, καὶ ὡρᾳζομένου τῷ πλήθει
having-withdrawn — Domninus and priding-himself in-the multitude
καὶ μεγέθει τῶν δωρεῶν καὶ τῇ τῶν δεδομένων αὐτῷ
and greatness of-the gifts and in-the of-the given to-him
συμμάχων δορυφορίᾳ, τὴν ἀπὸ τῶν Ἄλπεων φέρουσαν ἐπὶ
allies escort the from the Alps leading to
τὴν Ἰταλίαν ὁδὸν ἔλαθε τῷ Μαξίμῳ ῥᾴονα καταστήσας.
— Italy road unawares — to-Maximus easier having-made
ὅπερ ὁ Μάξιμος προϊδόμενος, καὶ ἐπὶ τούτῳ πάντα 42.6
which — Maximus having-foreseen and for this all-things
κατασκευάσας, ἐπηκολούθησε πανστρατιᾷ, μεθ' ἡσυχίας
having-prepared followed with-the-whole-army with quiet
προπέμψας κατὰ τὴν ὁδὸν φύλακας, οἳ πᾶσαν ἐποιοῦντο
having-sent-ahead along the road guards who all made

φροντίδα τοῦ μηδένα παραδραμόντα τὴν ἐπὶ τὴν Ἰταλίαν
care of-the no-one having-run-past the to — Italy
Μαξίμου διάβασιν τοῖς ἀμφὶ Δομνῖνον ἀγγεῖλαι. καὶ
of-Maximus crossing to-the(-ones) about Domninus to-report and
ἦν ἡ τοιαύτη φυλακὴ λίαν εὔκολος· οὐδὲ γὰρ ἦν οἷόν τε
was the such guarding very easy nor for was possible —
λαθεῖν τοὺς διὰ τοῦ στενωτάτου τῶν Ἄλπεων ἰόντας.
to-escape-notice the(-ones) through the narrowest of-the Alps going
42.7 ὅτε τοίνυν ἔγνω τοὺς ἀμφὶ τὸν Δομνῖνον τὰ στενώτατα
when therefore he-learned the(-ones) about — Domninus the narrowest(-passes)
τῶν Ἄλπεων καὶ τὰ τῶν ὀρῶν ἄβατα διελθόντας,
of-the Alps and the of-the mountains impassable(-parts) having-gone-through
ἤδη δὲ καὶ τὰ μετὰ τὰς Ἄλπεις, ὅσα ἦν ἑλώδη
already and also the(-parts) after the Alps as-many-as were marshy
καὶ δυσχέρειαν ἐμποιοῦντα στρατοπέδῳ πολέμιον στῖφος
and difficulty creating for-an-army hostile body
ἐναντιωσόμενον ἐν δυσχωρίαις εὑρήσειν ἐλπίζοντι, τότε
going-to-oppose in rough-ground to-find hoping then
δὴ σὺν παντὶ τάχει τὴν Ἰταλίαν, οὐδενὸς ἐμποδὼν
indeed with all speed — Italy no-one in-the-way
ὄντος, καταλαβὼν τῇ Ἀκυληίᾳ προσάγει.
being having-occupied — Aquileia he-approaches
43.1 Οὐαλεντινιανοῦ δὲ τῷ αἰφνιδίῳ καὶ παρὰ πᾶσαν ἐλπίδα
Valentinian and by-the suddenness and beyond all hope
καταπλαγέντος, δέος εἰσῄει τοὺς ἀμφ' αὐτὸν μὴ καὶ
having-been-struck-with-dismay fear entered the(-ones) about him lest also
ζωγρίαν ἑλὼν ὁ Μάξιμος διαχρήσηται. τότε δὴ νεὼς
alive having-taken — Maximus should-kill(-him) then indeed ship
ἐπιβὰς ἐπὶ τὴν Θεσσαλονίκην ἀπῇρε. συναπέπλει δὲ
having-boarded to — Thessalonica sailed-off sailed-with and
αὐτῷ καὶ ἡ μήτηρ Ἰουστῖνα, Μαγνεντίῳ μέν, ὡς εἴρηταί
him also the mother Justina with-Magnentius indeed as has-been-said

μοι, πρότερον συνοικήσασα, μετὰ δὲ τὴν ἐκείνου καθαίρεσιν
by-me before having-lived after and the of-that-man overthrow
Οὐαλεντινιανῷ τῷ βασιλεῖ διὰ κάλλους ὑπερβολὴν
to-Valentinian the emperor because-of beauty's excess
συναφθεῖσα, καὶ τὴν θυγατέρα Γάλλαν ἐπαγομένη.
joined and the daughter Galla bringing
διαπλεύσαντες δὴ τὰ τοσαῦτα πελάγη καὶ τῇ Θεσσαλονίκῃ 43.2
having-sailed-through indeed the so-great seas and — at-Thessalonica
προσορμισθέντες πρεσβείᾳ πρὸς Θεοδόσιον ἐχρῶντο τὸν
having-anchored embassy to Theodosius they-used the
βασιλέα, νῦν γοῦν αὐτὸν τῇ κατὰ παντὸς τοῦ Οὐαλεντινιανοῦ
emperor now at-least him the against all the of-Valentinian
γένους ἀσελγείᾳ τιμωρῆσαι παρακαλοῦντες. ὃ δὲ καὶ πρὸς
family outrage to-avenge urging he and also at
αὐτὴν τὴν ἀκοὴν ἐκπλαγεὶς λήθην μέν τινα τῆς ἄγαν
itself the hearing having-been-struck forgetfulness indeed some of-the excessive
ἐποιεῖτο τρυφῆς καὶ τῇ περὶ τὰς ἡδονὰς ἐνεδίδου μανίᾳ,
made luxury and in-the about the pleasures slackened madness
βουλῆς δὲ προτεθείσης ἐδόκει τὴν Θεσσαλονίκην
council and having-been-proposed it-seemed-good — Thessalonica
αὐτὸν ἅμα τισὶ τῶν ἀπὸ τῆς γερουσίας καταλαβεῖν.
him with some of-the(-ones) from the senate to-reach
οὗ δὴ γενομένου τελεία περὶ τοῦ πρακτέου προετίθετο 43.3
which indeed having-happened complete about the to-be-done was-set-forth
γνώμη, καὶ κοινῷ δόγματι συνεδόκει τοῖς Μαξίμῳ
judgment and by-common decree it-was-agreed the(-crimes) by-Maximus
πεπλημμελημένοις ἐπεξελθεῖν· μὴ γὰρ εἶναι βιωτὸν
committed to-punish not for to-be livable
ἀνθρώπῳ Γρατιανὸν μὲν ἀνελόντι καὶ τὴν βασιλείαν
for-a-man Gratian indeed having-killed and the rule
οἰκειωσαμένῳ τὴν τούτου, καὶ ἐπειδὴ τοῦτο προεχώρησεν,
having-appropriated the of-this-man and since this had-succeeded

ὁδῷ προελθόντι καὶ τῆς λελειμμένης ἀρχῆς τὸν
in-due-course having-advanced and of-the remaining rule the
ἀδελφὸν τὸν ἐκείνου παρελομένῳ.
brother the of-that-man having-deprived

44.1 τούτοις δυσαρεστήσας ὁ Θεοδόσιος διά τε τὴν ἔμφυτον
at-these having-been-displeased — Theodosius because-of both the innate
μαλακίαν καὶ τὴν τῆς προλαβούσης διαίτης ἐκμέλειαν
softness and the of-the preceding way-of-life carelessness
ὤκνει πρὸς τὸν πόλεμον, τὰ ἐκ τῶν ἐμφυλίων κακὰ
shrank from the war the from the civil(-wars) evils
φέρων εἰς μέσον, καὶ ὡς ἀνάγκη πᾶσα τὰ κοινὰ
bringing into midst and that necessity all the common(-affairs)
πλήττεσθαι καιρίαις πληγαῖς ἀμφοτέρωθεν· ὅθεν ἔφασκε
to-be-struck with-mortal blows from-both-sides whence he-said
δεῖν πρότερον διακηρυκεύεσθαι, καὶ εἰ μὲν ἕλοιτο
it-was-needful first to-negotiate and if indeed should-choose
Βαλεντινιανῷ Μάξιμος ἀποδοῦναι τὴν βασιλείαν καὶ ἄγειν
to-Valentinian Maximus to-give-back the rule and to-keep
τὴν ἡσυχίαν, κατὰ τὸ πρότερον σχῆμα τὴν ἀρχὴν
the quiet according-to the former arrangement the rule
εἰς ἅπαντας διῃρῆσθαι, πλεονεξίᾳ δὲ κρατούμενον αὐτὸν
among all to-be-divided by-greed and mastered him
καταπολεμήσειν ἀπροφασίστως.
to-war-down without-excuse

44.2 τούτοις ἀντιφθέγγεσθαι μὲν οὐδεὶς τῶν ἀπὸ τῆς
to-these to-speak-against indeed none of-the(-ones) from the
γερουσίας ἐθάρρει, δοκοῦσί πως κοινῇ τῇ πολιτείᾳ
senate dared seeming somehow in-common for-the state
λυσιτελεῖν· Ἰουστῖνα δὲ οὔτε πραγμάτων ἄπειρος
to-be-profitable Justina and neither of-affairs inexperienced
οὖσα οὔτε πρὸς τὴν τοῦ συμφέροντος εὕρεσιν ἄπορος,
being nor for the of-the advantageous finding at-a-loss

ἐπισταμένη τὸ Θεοδοσίου περὶ τὰς ἐρωτικὰς ἐπιθυμίας
knowing the of-Theodosius toward the amorous desires
ἐπιρρεπές, ἐφιστᾷ τε τὴν θυγατέρα Γάλλαν ἐξαισίῳ
inclination sets-forward both the daughter Galla extraordinary
διαπρέπουσαν κάλλει, καὶ τῶν γονάτων ἐπιλαβομένη τοῦ
excelling in-beauty and of-the knees having-grasped of-the
βασιλέως ἱκέτευε μήτε τὸν Γρατιανοῦ τοῦ δεδωκότος
emperor supplicated neither the of-Gratian the(-one) having-given
οἱ τὴν βασιλείαν θάνατον περιδεῖν ἀτιμώρητον, μήτε
him the rule death to-overlook unavenged nor
σφᾶς εἰκῇ κειμένους ἐᾶσαι, πάσης ἐκπεπτωκότας ἐλπίδος.
them idly lying to-let-be from-all fallen hope
καὶ ταῦτα λέγουσα τὴν κόρην ὀδυρομένην ἐδείκνυ καὶ τὴν 44.3
and these-things saying the girl lamenting she-showed and the
ἑαυτῆς ἀποκλαίουσαν τύχην. τούτων ἀκούσας ὁ Θεοδόσιος,
her-own bewailing fortune these having-heard — Theodosius
καὶ ἅμα τῇ θέᾳ τοῦ τῆς κόρης κάλλους ἁλούς,
and at-once by-the sight of-the of-the girl beauty captured
παρέφαινε μὲν καὶ τῷ βλέμματι τὴν ἐπὶ τῷ κάλλει
showed indeed also by-the gaze the from the beauty
τῆς κόρης πληγήν, ἀνεβάλλετο δὲ τὸ πρακτέον, χρηστὰς
of-the girl wound put-off and the to-be-done good
ἔχειν αὐταῖς ὑποφαίνων ἐλπίδας. ὡς δὲ πλέον ὑπεσμύχετο
to-have for-them suggesting hopes as and more be-smoldered
τῇ τῆς κόρης ἐπιθυμίᾳ, τὴν Ἰουστῖναν μετελθὼν
with-the of-the girl desire — Justina having-approached
ᾔτει τὴν θυγατέρα πρὸς γάμον οἷα Πλακίλλης τῆς
asked-for the daughter for marriage as Placilla the
πρότερον αὐτῷ γημαμένης ἀπαλλαγείσης.
before to-him married having-departed(-this-life)

44.4 οὐκ ἄλλως δὲ ἔφασκε δώσειν, εἰ μὴ τὸν κατὰ Μαξίμου
not otherwise and she-said to-give(-her) if not the against Maximus
πόλεμον ἀράμενος τῇ τε Γρατιανοῦ τιμωρήσειεν ἀναιρέσει
war having-undertaken the both of-Gratian he-should-avenge killing
καὶ Οὐαλεντινιανῷ πάλιν ἀποδοίη τὴν τοῦ πατρὸς βασιλείαν.
and to-Valentinian again should-restore the of-the father rule
ἐπὶ τούτοις ἔτυχέ τε τοῦ γάμου καὶ ταῖς τοῦ πολέμου
on these-terms he-obtained both the marriage and to-the of-the war
παρασκευαῖς ὅλον ἑαυτὸν ἐνεδίδου, καὶ συνελαυνόμενος ὑπὸ
preparations whole himself gave and being-driven by
τῆς γυναικὸς τό τε στρατιωτικὸν ἐφιλοφρονεῖτο σιτήσεων
the wife the both military(-force) treated-kindly of-rations
ἐπιδόσεσι, καὶ τὴν ἄλλην ἐκμέλειαν ὑπὸ τῆς χρείας
with-increases and the other carelessness by the need
ἀναγκαζόμενος ἐπηνώρθου, διαθεῖναί τε τὰ μετὰ τὴν
compelled corrected to-arrange and the(-things) after the
ἀποδημίαν τὴν αὑτοῦ δεησόμενα προνοίας ἐγνώκει.
departure the his going-to-need provision he-had-resolved

45.1 Διὰ τοῦτο, ἐπειδὴ Κυνήγιος ὁ τῆς αὐλῆς ὕπαρχος
because-of this since Cynegius the of-the court prefect
ἐπανιὼν ἐξ Αἰγύπτου κατὰ τὴν ὁδοιπορίαν ἔτυχε
returning from Egypt on the journey happened
τεθνεώς, ὅν τινα δέοι προστήσασθαι τῆς αὐλῆς
having-died whom ever it-was-needful to-set-over of-the court
ὕπαρχον ἀνεζήτει, καὶ πολλοὺς πολλάκις ἀνασκοπήσας
prefect he-sought and many many-times having-reviewed
εὗρε τελευταῖον ἄνδρα πρὸς τοῦτο ἁρμόδιον. μετακαλέσας
found at-last a-man for this suitable having-summoned
τοίνυν ἐκ τῆς Λυκίας Τατιανόν, ἤδη μὲν ἄλλας ἐπὶ
therefore from — Lycia Tatianus already indeed other under
Οὐάλεντος ἐγκεχειρισμένον ἀρχάς, ἄνδρα δὲ ἐν πᾶσι
Valens entrusted-with offices a-man and in all

σπουδαῖον, ἀναδεικνύει τῆς αὐλῆς ὕπαρχον ἐν τῇ πατρίδι,
earnest appoints of-the court prefect in the native-land
καὶ τὰ τῆς ἀρχῆς σύμβολα πέμψας αὐτῷ τὸν παῖδα τὸν
and the of-the office insignia having-sent to-him the son the
αὐτοῦ Πρόκλον τῆς πόλεως ὕπαρχον κατέστησεν.
his Proclus of-the city prefect appointed
ἀλλ' ἐν τούτῳ μὲν εὖ διεγένετο, τὰς μεγίστας ἀρχὰς 45.2
but in this indeed well he-managed the greatest offices
ἀνδράσι τοιούτοις ἐκδεδωκὼς οἳ καὶ παρὰ τὴν βασιλέως
to-men such having-handed-over who also during the of-the-emperor
ἀποδημίαν τὰ τῶν ὑπηκόων ἄριστα δυνήσονται
absence the(-affairs) of-the subjects best will-be-able
διαθεῖναι· τοῖς δὲ στρατιώταις, ἱππεῦσι μὲν Πρόμωτον,
to-arrange to-the and soldiers to-horsemen indeed Promotus
πεζοῖς δὲ Τιμάσιον ἐπέστησεν.
to-foot-soldiers and Timasius he-set-over
ἐπεὶ δὲ πρὸς τὴν ἔξοδον οὐδὲν ἐλλείπειν ἐδόκει, λόγος 45.3
since and for the setting-out nothing to-be-lacking it-seemed a-report
ἐνέπεσε ταῖς βασιλέως ἀκοαῖς ὡς οἱ τοῖς Ῥωμαϊκοῖς
fell-upon the of-the-emperor ears that the among-the Roman
τέλεσιν ἀναμεμιγμένοι βάρβαροι δωρεῶν ὑποσχέσει
units mixed barbarians of-gifts by-promise
μεγάλων παρὰ Μαξίμου περὶ προδοσίας ἐδέξαντο λόγους,
great from Maximus about betrayal received words
αἰσθόμενοι δὲ ὡς περίπυστον γέγονε, περὶ τὰ τέλματα καὶ
having-perceived and that widely-known it-became about the swamps and
τὰς ἐν Μακεδονίᾳ λίμνας συνέφυγον, τοῖς αὐτόθι δάσεσιν
the in Macedonia lakes fled-together in-the there thickets
ἑαυτοὺς ἀποκρύπτοντες· ἐν οἷς διωκόμενοι καὶ διὰ
themselves hiding in which being-pursued and through
πάσης ἀναζητούμενοι μηχανῆς κατὰ τὸ πολὺ διεφθάρησαν
every being-sought-out device for the great were-destroyed

μέρος, ὥστε τὸν βασιλέα τούτου τοῦ δέους ἀπαλλαγέντα
part so-that the emperor from-this the fear freed
σπουδῇ πάσῃ καὶ πανστρατιᾷ κατὰ Μαξίμου χωρῆσαι.
with-eagerness all and with-the-whole-army against Maximus to-advance
45.4 Ἰουστῖναν μὲν οὖν ἅμα τῷ παιδὶ καὶ τῇ θυγατρὶ ναυσὶν
Justina indeed then with the son and the daughter on-ships
ἐμβαλὼν καὶ τοῖς ἀσφαλῶς παραπέμπουσι παραδοὺς
having-put and to-the(-ones) safely escorting(-them) having-handed-over
εἰς τὴν Ῥώμην ἐξέπεμπεν (ἐπεπιστεύκει γὰρ ὡς ἀσμενέστατα
to — Rome sent-off he-had-trusted for that most-gladly
Ῥωμαῖοι δέξονται τούτους, ἀλλοτριούμενοι Μαξίμου ταῖς
Romans will-receive these being-estranged from-Maximus in-the
γνώμαις), αὐτὸς δὲ ἅμα τῷ στρατῷ διὰ Παιονίας τῆς
judgments himself and with the army through Paeonia the
ἄνω καὶ τῶν Ἀπεννίνων ὀρῶν ἐπὶ τὴν Ἀκυληίαν αὐτὴν
upper and the Apennine mountains to — Aquileia itself
ἐλάσαι διενοεῖτο καὶ ἐπελθεῖν ἀπαρασκεύῳ τῷ πολεμίῳ.
to-march intended and to-come-upon unprepared the enemy
46.1 Ταύτῃ τῇ πορείᾳ χρωμένου τοῦ Θεοδοσίου, πυθόμενος
this the march using — Theodosius having-learned
Μάξιμος ὡς ἡ Οὐαλεντινιανοῦ μήτηρ ἅμα τοῖς παισὶ
Maximus that the of-Valentinian mother with the children
διαβαίνειν μέλλοι τὸν Ἰόνιον κόλπον, ταχυναυτοῦντα
to-cross was-about the Ionian gulf fast-sailing
πλοῖα συναγαγὼν καὶ Ἀνδραγαθίῳ παραδοὺς ἐπὶ τὴν
vessels having-gathered and to-Andragathius having-handed-over for the
τούτων ἔστελλε θήραν. ὃ δὲ περιπλεύσας ἁπανταχοῦ καὶ
of-these sent hunt he and having-sailed-around everywhere and
τῆς πείρας διαμαρτών (ἔφθησαν γὰρ ἐκεῖνοι τὸν Ἰόνιον
of-the attempt having-failed had-anticipated for those the Ionian
περαιωθῆναι πορθμόν), δύναμιν ἀρκοῦσαν συναγαγὼν
to-cross strait force sufficient having-gathered

πάντα περιέπλει τὰ ἐκεῖσε, ναυτικῇ δυνάμει Θεοδόσιον
all sailed-around the(-places) there with-naval force Theodosius
οἰόμενος ἐπιθήσεσθαι.
thinking to-attack
ὄντος δὲ ἐν τούτοις Ἀνδραγαθίου, διελθὼν Παιονίαν 46.2
being and in these-things Andragathius having-passed-through Paeonia
καὶ τὰς ἐν τοῖς Ἀπεννίνοις ὄρεσι πύλας ὁ Θεοδόσιος
and the in the Apennine mountains gates — Theodosius
ἀπροσδοκήτοις ἅμα καὶ ἀφυλάκτοις οὖσι τοῖς ἀμφὶ τὸν
unexpecting at-once and unguarded being the(-ones) about —
Μάξιμον ἐπιτίθεται. μέρους δέ τινος τοῦ στρατοπέδου σὺν
Maximus attacks part and some of-the army with
ὀξυτάτῃ ῥύμῃ τοῖς τῆς Ἀκυληίας τείχεσι προσπεσόντος καὶ
sharpest onset on-the — of-Aquileia walls having-fallen and
βιασαμένου τὴν διὰ τῶν πυλῶν εἴσοδον (ἀντιστῆναι γὰρ
having-forced the through the gates entrance to-resist for
αὐτοῖς οὐχ οἷοί τε γεγόνασιν οἱ φυλάττοντες ὄντες
them not able — they-became the(-ones) guarding being
ὀλίγοι) Μάξιμος μὲν ἐκ τοῦ βασιλείου κατήγετο θρόνου,
few Maximus indeed from the royal was-brought-down throne
χρήματα διανέμειν τοῖς ὑπ᾽ αὐτὸν στρατιώταις ἀρξάμενος,
money to-distribute to-the under him soldiers having-begun
γυμνωθεὶς δὲ τοῦ βασιλικοῦ σχήματος Θεοδοσίῳ προσήγετο.
stripped and of-the royal dress to-Theodosius was-brought
ὃ δὲ βραχέα τῶν κατὰ τῆς πολιτείας αὐτῷ 46.3
he and briefly of-the against the state by-him
πεπλημμελημένων ἐν ὀνείδους μέρει διεξελθὼν τῷ
committed(-crimes) in of-reproach way having-gone-through to-the
δημίῳ παρέδωκε, τὴν ὀφειλομένην ἐκτίσοντα δίκην.
executioner handed-over(-him) the owed going-to-pay penalty
Μαξίμῳ μὲν οὖν τοῦτο τοῦ βίου καὶ τῆς τυραννίδος ἐγένετο
for-Maximus indeed then this of-the life and of-the tyranny became

τέλος, ἅμα τῷ κατὰ Οὐαλεντινιανοῦ προτερήματι
end together-with the against Valentinian advantage
πᾶσαν ἕξειν ἀκονιτὶ τῶν Ῥωμαίων ἀρχὴν ὀνειροπολήσαντι·
all to-have without-dust the of-Romans rule having-dreamed
47.1 Θεοδόσιος δὲ ὁ βασιλεὺς ἀκηκοὼς ὅτι διαβαίνων τὰς
Theodosius and the emperor having-heard that crossing the
Ἄλπεις ὁ Μάξιμος Βίκτορα τὸν υἱὸν ἀπέλιπεν αὐτόθι
Alps — Maximus Victor the son had-left there
τῇ τοῦ Καίσαρος ἀξίᾳ τετιμημένον, Ἀρβογάστην ἔστειλε
with-the of-the Caesar rank honored Arbogast sent
παραχρῆμα τὸν στρατηγόν, ὃς παρέλυσέ τε τῆς
immediately the general who removed both from-the
ἀρχῆς καὶ ἀπέκτεινε τὸ μειράκιον. τούτων ἀπαγγελθέντων
office and killed the youth these having-been-reported
Ἀνδραγαθίῳ τὰ περὶ τὸν Ἰόνιον διερευνωμένῳ πορθμόν,
to-Andragathius the(-waters) about the Ionian searching strait
ὅτι μυρίοις περιπεσεῖται κακοῖς ἐπιστάμενος, οὐκ ἀναμείνας
that countless he-will-fall-into evils knowing not having-waited-for
τοὺς ἐπιθησομένους αὐτὸς ἑαυτῷ τὴν τιμωρίαν ἐπέθηκεν,
the(-ones) going-to-attack(-him) he-himself on-himself the punishment imposed
καθεὶς εἰς τὴν θάλασσαν τὸ σῶμα καὶ ταύτῃ μᾶλλον
having-let-down into the sea the body and to-this rather
ἐκδοῦναι τὰ καθ' ἑαυτὸν ἢ τοῖς ἐχθίστοις ἑλόμενος.
to-hand-over the(-fate) concerning himself than to-the most-hostile having-chosen
47.2 Τὴν μὲν οὖν βασιλείαν Θεοδόσιος πᾶσαν Οὐαλεντινιανῷ
the indeed then rule Theodosius all to-Valentinian
παρέδωκεν, ὅσην ἔτυχεν ἔχων ὁ τούτου πατήρ, καὶ
handed-over as-much-as happened having the of-this-one father and
τοῦτο περὶ τοὺς εὐεργέτας καθῆκον ἔδοξεν εἶναι· τῶν
this toward the benefactors fitting seemed to-be of-the(-ones)
δὲ ὑπὸ Μαξίμῳ στρατευσαμένων ὅσον ἦν ἐπίλεκτον
and under Maximus having-served as-much-as was picked

μετὰ τῶν οἰκείων ἀναλαβών, ἀφῆκε μὲν ἐκεῖνον τὰ
with the own(-troops) having-taken-up he-let-go indeed him the(-affairs)
περὶ τὴν Ἰταλίαν καὶ Κελτοὺς καὶ ὅσα τῆς ἐπικρατείας
about — Italy and Celts and as-much-as of-the dominion
ἦν τῆς αὐτοῦ διαθήσοντα. συνῆν δὲ καὶ ἡ μήτηρ αὐτῷ,
was the his going-to-arrange was-with and also the mother him
τὸ ἐλλεῖπον ἐν φρονήσει διὰ τὸ νέον τῆς ἡλικίας,
the(-thing) lacking in prudence because-of the youth of-the age
καθ' ὅσον γυναικὶ δυνατὸν ἦν, ἐκπληροῦσα.
as much for-a-woman possible was filling-up

VII · THE MACEDONIAN MARSHES, AND RUFINUS

Returning to Thessalonica, Theodosius finds barbarians from the Macedonian marshes raiding Macedonia and Thessaly by night. With only five horsemen, unrecognized, he finds an old woman's silent lodger, has him tortured until he confesses he spies for the barbarians, beheads him, and leads his army against them. When Timasius asks that the weary soldiers be fed and Theodosius recalls them, the survivors fall on them asleep, and Theodosius is fleeing when Promotus arrives and kills nearly all. At Constantinople Theodosius returns to luxury. Rufinus, a Gaul made master of offices, is struck by Promotus and has him ambushed in Thrace; made consul, he ruins the prefect Tatianus and his son Proclus, whom he lures back and has executed at Sycae.

Αὐτὸς δὲ εἰς τὴν Θεσσαλονίκην ἐπανελθὼν οὐ τὴν 48.1
he-himself and into — Thessalonica having-returned not the
τυχοῦσαν εὗρεν ἐν τοῖς Μακεδόνων πράγμασι ταραχήν.
ordinary found in the of-Macedonians affairs confusion
ὅσοι γὰρ τῶν βαρβάρων ἐν τοῖς ἕλεσι καὶ ταῖς
as-many-as for of-the barbarians in the marshes and the
περὶ τὰς λίμνας ὕλαις ἑαυτοὺς ἀποκρύψαντες ἐκ τῆς
about the lakes woods themselves having-hidden from the

προτέρας τῶν Ῥωμαίων ἐφόδου περιεσώθησαν, τῆς περὶ
former of-the Romans attack had-been-saved of-the about
τὸν ἐμφύλιον πόλεμον ἀσχολίας Θεοδοσίου τοῦ βασιλέως
the civil war preoccupation of-Theodosius the emperor
λαβόμενοι τὰ Μακεδόνων καὶ Θεσσαλῶν ἐλῄζοντο,
having-taken-advantage the(-lands) of-Macedonians and Thessalians plundered
μηδενὸς αὐτοῖς ἐναντιωθέντος.
no-one them having-opposed

48.2 ἐπεὶ δὲ τὰ τῆς νίκης αὐτοῖς καὶ τῆς ἐπανόδου τοῦ
when and the(-news) of-the victory to-them and of-the return of-the
βασιλέως ἠγγέλθη, τοῖς ἕλεσιν αὖθις ἑαυτοὺς ἐναπέκρυψαν,
emperor was-reported in-the marshes again themselves they-hid
αὐτόθεν τε λαθραίως ἐπανιστάμενοι, τὰ ἐν ποσί τε
from-there and secretly rising-up the(-things) at feet both
ἄγοντες καὶ φέροντες, ἡμέρας ἐπιφαινομένης ἐπὶ τοὺς
driving and carrying day appearing to the
συνήθεις τόπους ἐχώρουν, ὥστε περιῆν τῷ βασιλεῖ
customary places went so-that it-remained for-the emperor
λογίζεσθαι φάσματα μᾶλλον ἢ ἀνθρώπους εἶναι τοὺς
to-reckon phantoms rather than men to-be the(-ones)
ἐπιόντας.
attacking

48.3 ἀπορῶν τοίνυν ἐκοινώσατο μὲν οὐδενὶ τὸ πρακτέον,
being-at-a-loss therefore he-communicated indeed to-no-one the to-be-done
ἀναλαβὼν δὲ ἄχρι πέντε ἱππέων τὸν ἀριθμόν, καὶ ἑκάστῳ
having-taken and up-to five of-horsemen the number and to-each
τρεῖς ἵππους ἢ τέσσαρας ἕλκειν ἀπὸ ῥυτῆρος εἰπών,
three horses or four to-draw by rein having-told
ὥστε ἐπειδὰν ὁ τὸν ἱππέα φέρων ἵππος ἀπείποι τῷ
so-that whenever the the horseman carrying horse should-give-out from-the
πόνῳ, μεταβαίνειν ἐπὶ τὸν ἕτερον, τούτῳ τε τῷ τρόπῳ
toil to-pass-over to the other by-this and the way

πρὸς πᾶσαν ἀρκέσαι τοὺς ἵππους κακοπάθειαν ἧς κατὰ
to every to-suffice the horses hardship of-which in
νοῦν ἔλαβεν ἐγχειρήσεως, οὐδενὶ τῶν θεωμένων ὅτι
mind he-took undertaking to-none of-the(-ones) seeing that
βασιλεὺς εἴη διδοὺς ὑποπτεύειν, περιενόστει τοὺς ἀγρούς,
emperor he-was giving to-suspect went-about the fields
καὶ εἴ που τροφῆς ἅμα τοῖς σὺν αὐτῷ δεηθείη,
and if anywhere food together-with the(-ones) with him he-should-need
παρὰ τῶν ἀγροίκων αἰτῶν, ἐνέτυχε καταλύματι βραχεῖ
from the rustics asking he-came-upon a-lodging small
παρὰ γραὸς οἰκουμένῳ, καὶ στέγης αὐτῷ μεταδοθῆναι
by an-old-woman inhabited and of-shelter to-him to-be-given-a-share
καὶ ποτοῦ παρεκάλει.
and of-drink he-asked
τῆς δὲ γραὸς φιλοφρόνως αὐτὸν ὑποδεξαμένης, οἴνου τε καὶ 48.4
the and old-woman kindly him having-received of-wine both and
τῶν ἄλλων ὅσα ἔτυχεν ἔχουσα μεταδούσης, ἐπειδὴ
of-the other(-things) as-many-as she-happened having having-given-a-share when
νὺξ ἐγένετο, αὐτόθι καθεύδειν ἐδεῖτο. τῆς δὲ πρεσβύτιδος
night came there to-sleep he-asked the and old-woman
καὶ πρὸς τοῦτο ἐνδούσης, κείμενος ὁ βασιλεὺς ἔν τινι
also to this having-yielded lying the emperor in some
μέρει τῆς καταλύσεως ἄνθρωπον ἐθεάσατο φθεγγόμενον
part of-the lodging a-man saw uttering
μὲν οὐδὲ ἕν, ἐοικότα δὲ λανθάνειν ἐθέλοντι.
indeed not-even one-thing like and to-one-wishing to-escape-notice
καὶ τοῦτο θαυμάσας ὡς ἑαυτὸν ἐκάλει τὴν γραῦν, 48.5
and this having-wondered-at to himself called the old-woman
καὶ ἐπυνθάνετο τίς εἴη καὶ πόθεν. τῆς δὲ ἀγνοεῖν
and inquired who he-was and whence she and to-be-ignorant
εἰπούσης, καὶ κατὰ ποίαν ἀφίκετο χρείαν, τοῦτο δὲ
having-said and for what he-had-come need this and

εἰδέναι φασκούσης ὅτι γε ἀφ᾽ οὗ Θεοδόσιος ὁ βασιλεὺς
to-know saying that at-least since — Theodosius the emperor
ἐπανιέναι μετὰ τῆς στρατιᾶς ἠγγέλθη, καταλύσας παρ᾽
to-be-returning with the army was-reported having-lodged with
αὐτῇ καὶ τὴν ὑπὲρ τῆς τροφῆς τιμὴν ἑκάστης ἡμέρας
her and the for the food price each day
ἀποδιδούς, τὴν ἡμέραν ἅπασαν τῆς οἰκίας ἐξιών, ὅποι
paying the day all from-the house going-out wherever
βούλεταί τε περινοστῶν, νυκτὸς ἐπαγομένης ἐπανιὼν
he-wishes both going-about night coming-on returning
ὥσπερ ἐκ κόπου τροφῆς τε μεταλαμβάνει καὶ κεῖται
as-if from toil food both he-partakes-of and lies
κατὰ τὸ νῦν ὁρώμενον σχῆμα, ταῦτα ὁ βασιλεὺς
in the now seen posture these-things the emperor
ἀκούσας, τεκμαιρόμενός τε ὡς οὐ προσήκει τοὺς τῆς
having-heard judging and that not it-is-fitting the of-the
πρεσβύτιδος λόγους ἀνεξετάστους καταλιπεῖν, συναρπάσας
old-woman words unexamined to-leave having-seized
τὸν ἄνθρωπον ὅστις εἴη λέγειν ἀπήτει.
the man who-ever he-was to-say demanded
48.6 τοῦ δὲ οὐδὲν ἀνασχομένου παντάπασιν ἀποκρίνασθαι
he and nothing having-endured at-all to-answer
βάσανοι διὰ μαστίγων ἐπήγοντο. τοῦ δὲ μηδὲ τῇ διὰ
tortures through whips were-applied he and not-even to-the through
τούτων ἐνδόντος ἀνάγκῃ, ξίφεσιν ἀμύττειν αὐτῷ τὸ σῶμα
these having-yielded compulsion with-swords to-tear his the body
τοῖς ἱππεῦσιν ἐνεκελεύετο, προσθεὶς ὅτι αὐτὸς ὁ βασιλεὺς
to-the horsemen he-ordered having-added that himself the emperor
Θεοδόσιος εἴη. τοῦτο ἀκούσας ὁ ἄνθρωπος ἐξέφαινέ τε
Theodosius he-was this having-heard the man revealed both
ὅστις εἴη καὶ τῶν ἐν τοῖς ἕλεσι κρυπτομένων βαρβάρων
who-ever he-was and of-the in the marshes hiding barbarians

εἶναι κατάσκοπος ἔλεγεν, ἀπαγγέλλειν τε αὐτοῖς ὁ στρατὸς
to-be spy he-said to-report both to-them the army
ὅποι εἴη καὶ ποίοις ἐπιέναι τόποις ἢ ἀνδράσι προσήκει.
where it-was and what to-attack places or men it-is-fitting
τούτου μὲν οὖν παραχρῆμα ἀπέτεμε τὴν κεφαλήν, ἐλάσας 48.7
of-this-man indeed then immediately he-cut-off the head having-ridden
δὲ πρὸς τὸ στρατόπεδον οὐ πόρρωθεν αὐλιζόμενον ἄγει τε
and to the army not far-off encamped leads both
αὐτοὺς ἔνθα ἔγνω τοὺς βαρβάρους ἐνδιαιτᾶσθαι, σὺν αὐτοῖς
them where he-knew the barbarians to-be-living with them
τε ἐπιπεσὼν ἡβηδὸν πάντας διέφθειρε, τοὺς μὲν
both having-fallen-upon(-them) from-youth-up all destroyed some indeed
τοῖς ἕλεσι κρυπτομένους ἐξάγων, τοὺς δὲ καὶ ἐν τοῖς ὕδασιν
in-the marshes hiding bringing-out others and even in the waters
ἀποσφάττων, ὥστε φόνον τῶν βαρβάρων γενέσθαι πολύν.
slaughtering so-that slaughter of-the barbarians to-become great
Ὁ δὲ στρατηγὸς Τιμάσιος, τοῦ βασιλέως ἀγασθεὶς τὴν 49.1
the and general Timasius the emperor's having-admired the
ἀνδρείαν, ἀσίτοις οὖσι τοῖς στρατιώταις καὶ οὐκέτι πρὸς
courage foodless being for-the soldiers and no-longer for
τοὺς ἐν τοῖς τέλμασι πόνους ἀρκεῖν δυναμένοις τροφῆς ἠξίου
the in the swamps toils to-suffice able of-food asked
συγχωρηθῆναι μεταλαβεῖν. τοῦ δὲ ἐνδόντος ἡ μὲν σάλπιγξ
to-be-allowed to-partake he and having-yielded the indeed trumpet
ἠχοῦσα τὸ ἀνακλητικὸν ἀφίστη τοὺς στρατιώτας τοῦ ἔργου
sounding the recall withdrew the soldiers from-the work
καὶ τῆς κατὰ τῶν βαρβάρων ἐπιφορᾶς, ἀναχωρήσαντες
and from-the against the barbarians onset having-withdrawn
δὲ ἐπὶ τὴν εὐωχίαν καὶ ταύτης ἐμφορηθέντες, οἴνῳ τε
and to the feasting and with-this having-been-filled by-wine both
καὶ πόνῳ συνειλημμένοι, βαθύτατον ἐκάθευδον ὕπνον.
and by-toil overcome deepest slept sleep

49.2 ὅπερ αἰσθόμενοι τῶν βαρβάρων οἱ περιλελειμμένοι,
which having-perceived of-the barbarians the(-ones) left
ὅπλα τε ἀνέλαβον καὶ προσπεσόντες ὕπνῳ καὶ μέθῃ
arms both took-up and having-fallen-upon by-sleep and by-drunkenness
τοῖς στρατιώταις κεκρατημένοις κατεκέντουν δόρασί τε
the soldiers overcome stabbed(-them) with-spears both
καὶ ξίφεσι καὶ παντὶ τῷ πρὸς φόνον ἀρκοῦντι.
and with-swords and with-every the(-thing) for slaughter sufficing
συνανῄρητο δ' ἂν ἁπάσῃ τῇ στρατιᾷ καὶ ὁ
would-have-been-killed-together and — with-all the army also the
βασιλεὺς αὐτός, εἰ μή τινες τῶν οὔπω θοίνης
emperor himself if not some of-the(-ones) not-yet of-the-feast
μεταλαβόντων ἔδραμον ἐπὶ τὴν τοῦ βασιλέως σκηνήν,
having-partaken had-run to the of-the emperor tent
τὸ συμβὰν ἐξαγγέλλοντες· ἐφ' οἷς αὐτός τε
the(-thing) having-happened reporting at which he-himself both
καὶ οἱ σὺν αὐτῷ ταραχθέντες φυγῇ τὸν ἐπικείμενον
and the(-ones) with him disturbed by-flight the impending
κίνδυνον ἔγνωσαν ἀποδρᾶναι.
danger resolved to-escape

49.3 φεύγουσι δὲ αὐτοῖς ὑπαντήσας Πρόμωτος (ἔτυχε γὰρ ὑπὸ
fleeing and them having-met Promotus happened for by
τοῦ βασιλέως μετάπεμπτος γεγονὼς) τὸν μὲν βασιλέα
the emperor summoned having-become the indeed emperor
περισώζειν αὐτόν τε καὶ τοὺς αὐτῷ συνόντας ἠξίου·
to-save himself both and the(-ones) him being-with asked
τῶν γὰρ βαρβάρων αὐτῷ μελήσειν, ἀξίαν τῆς αὐτῶν
of-the for barbarians to-him to-be-a-care worthy of-the their
ἀπονοίας ἐπιθήσοντι δίκην. καὶ ἅμα ταῦτα λέγων ἐπῄει,
madness going-to-impose penalty and at-once these-things saying he-attacked
καὶ εὑρὼν ἔτι τοῖς καθεύδουσιν ἐγκειμένους ἐπῆλθέ
and having-found still on-the sleeping pressing came-upon(-them)

τε μετὰ πάσης ὀξύτητος, καὶ τοσούτους ἀνεῖλεν ὥστε
both with all speed and so-many killed that
ἢ οὐδένα ἢ σφόδρα ὀλίγους εἰς τὰ ἕλη συμφυγόντας
either none or very few into the marshes having-fled-together
περισωθῆναι.
to-be-saved

Τὰ μὲν οὖν συνενεχθέντα τῷ βασιλεῖ Θεοδοσίῳ μετὰ 50.1
the(-things) indeed then having-befallen the emperor Theodosius after
τὴν Μαξίμου καθαίρεσιν ἐπανιόντι τοιάδε πως ἦν· εἰς
the of-Maximus overthrow returning such somehow were into
δὲ τὴν Κωνσταντινούπολιν ἐπανελθὼν ἐπὶ μὲν τῷ κατὰ
and — Constantinople having-returned at indeed the over
Μαξίμου τροπαίῳ μέγα ἐφρόνει, τοῖς δὲ ὑπὸ τῶν ἐν τοῖς
Maximus trophy greatly was-proud by-the and by the in the
τέλμασι βαρβάρων εἰς αὐτόν τε καὶ τὸ στρατόπεδον
swamps barbarians against himself both and the army
ἅπαν γεγονόσι συνεσταλμένος πολέμοις μὲν ἀπειπεῖν
all having-happened humbled wars indeed to-renounce
ἐγνώκει καὶ μάχαις, ἐπιτρέψας τὰ περὶ ταῦτα
he-resolved and battles having-entrusted the(-affairs) about these
Προμώτῳ, αὐτὸς δὲ τῆς προτέρας ἀνεμιμνήσκετο διαίτης,
to-Promotus he-himself and the former recalled way-of-life
πολυτελῆ δεῖπνα δειπνῶν καὶ πολυπραγμονῶν ἐν ταῖς
costly dinners dining and busying-himself in the
ἡδοναῖς καὶ τοῖς θεάτροις καὶ ἱπποδρομίαις ἐναβρυνόμενος,
pleasures and in-the theaters and horse-races luxuriating
ὥστε ἔπεισί μοι θαυμάζειν τούτου τοῦ ἀνδρὸς τὴν ἐφ᾽
so-that it-comes-upon me to-wonder-at this the man's the to
ἑκάτερα τοῦ βίου ῥοπήν.
either-side of-the life inclination

50.2 φύσει γὰρ ὢν ἐκμελής, ῥᾳθυμίᾳ τε πάσῃ καὶ οἷς
by-nature for being careless to-sloth both all and to-what
προεῖπον ἐκκείμενος, λυπηροῦ μὲν αὐτὸν οὐδενὸς ἢ δέος
I-said-before given-over grievous indeed him nothing or fear
ἐπάγοντος ἐνοχλοῦντος ἐνεδίδου τῇ φύσει, καθιστάμενος
bringing troubling he-gave-way to-the nature being-put
δὲ εἰς ἀνάγκην σαλεύειν κατά τι τὰ καθεστῶτα
and into necessity to-be-shaken in some-respect the established(-order)
προσδοκωμένην ἀπετίθετο μὲν τὴν ῥᾳθυμίαν, καὶ τῇ τρυφῇ
expected he-laid-aside indeed the sloth and to-the luxury
χαίρειν εἰπὼν εἰς τὸ ἀνδρωδέστερον καὶ ἐπίπονον
to-rejoice having-bidden(-farewell) to the more-manly and laborious
καὶ τληπαθὲς ἀνεχώρει. τοιοῦτος ἐξ αὐτῆς ἀποδεδειγμένος
and enduring withdrew such from itself having-been-shown
τῆς πείρας, ἐπειδὴ πάσης ἦν ἀπηλλαγμένος φροντίδος,
the experience when from-all he-was freed care
ταῖς αὐτῷ φύσει προσούσαις ἐκμελείαις ἐδούλευε.
to-the to-him by-nature belonging carelessnesses he-was-a-slave

51.1 Τῶν δὲ τὰς ἀρχὰς ἐπιτετραμμένων ἐν τιμῇ κατ᾽ ἐξαίρετον
of-the(-ones) and the offices entrusted-with in honor in particular
ἤγετο Ῥουφῖνος, Κελτὸς τὸ γένος, μάγιστρος τῶν ἐν τῇ
was-held Rufinus a-Celt by-the race master of-the in the
αὐλῇ τάξεων καταστάς· τούτῳ γὰρ πάντα ὁ βασιλεὺς
court ranks appointed in-this-man for all-things the emperor
κατεθάρρει, τῶν ἄλλων ὀλιγωρῶν. ὅπερ ἐκίνει Τιμάσιον καὶ
trusted the others slighting which moved Timasius and
Πρόμωτον μετὰ τοσούτους ὑπὲρ τῆς πολιτείας κινδύνους ἐν
Promotus after so-many for the state dangers in
δευτέρᾳ τάξει κειμένους. ἐφ᾽ οἷς ὁ Ῥουφῖνος ὡῤᾳζόμενος καὶ
second rank lying at which — Rufinus priding-himself and

ἀναβεβηκὼς τῷ φρονήματι σκέμματος κοινοῦ προκειμένου
having-mounted in-the pride deliberation common being-proposed
θρασύτερόν τι ῥῆμα εἰς τὸν Πρόμωτον ἀπέρριψεν.
bolder some word at — Promotus flung
ὁ δὲ οὐκ ἐνεγκὼν ἐπήγαγε τῷ προσώπῳ τὴν χεῖρα 51.2
he and not having-borne brought to-the face the hand
καὶ ἔπληξεν. ὁ δὲ εἰσελθὼν καὶ τῷ βασιλεῖ τὸ
and struck he and having-gone-in and to-the emperor the
πρόσωπον δείξας τοσοῦτον ἐξανέστησεν εἰς ὀργὴν ὥστε
face having-shown so-much roused into anger that
εἰπεῖν, εἰ μὴ τὸν κατὰ Ῥουφίνου φθόνον ἀπόθοιντο,
to-say if not the against Rufinus envy they-should-lay-aside
ταχέως αὐτὸν ὄψονται βασιλεύοντα. ταῦτα ὁ Ῥουφῖνος
soon him they-will-see reigning these-things — Rufinus
ἀκηκοώς, ἐπειδὴ καὶ ἄλλως ἦν ἅπασιν ἔγκοτος διὰ
having-heard since also otherwise he-was to-all resentful because-of
φιλοπρωτείας ὑπερβολήν, ἀναπείθει τὸν βασιλέα κελεῦσαι
love-of-preeminence excess persuades the emperor to-order
τῶν βασιλείων ἔξω που διατρίβειν Προμώτῳ καὶ
from-the palace outside somewhere to-stay for-Promotus and
τῇ περὶ τὰ πολέμια μελέτῃ τοὺς στρατιώτας ἀσκεῖν.
in-the about the war(-arts) practice the soldiers to-train
καὶ ἐπειδὴ τοῦτο κατέπραξε, καθίζει λόχον αὐτῷ 51.3
and when this he-accomplished sets an-ambush for-him
βαρβάρων ποιουμένῳ τὴν ἐπὶ Θρᾴκην ὁδοιπορίαν. οἳ
of-barbarians making the to Thrace journey they
δὲ τὸ σύνθημα δεξάμενοι, μηδὲν προϊδομένῳ τοιοῦτον
and the signal having-received nothing foreseeing such
ἐπιθέμενοι, κατασφάζουσιν ἄνδρα πλούτου μὲν κρείττονα
having-attacked slaughter a-man to-wealth indeed superior
γεγονότα, χρησάμενον δὲ τῇ πολιτείᾳ καὶ τοῖς
having-been having-dealt and with-the state and the

βασιλεῦσιν εἰλικρινῶς, ἄξια δὲ τῆς προαιρέσεως ἐπίχειρα
emperors sincerely worthy and of-the policy wages
κομισάμενον, ὅτι τοῖς οὕτως ἐκμελῶς καὶ ἀσεβῶς
having-received because to-the(-ones) so carelessly and impiously
τὰ κοινὰ πράγματα διαθεῖσιν ὑπηρετήσατο.
the common affairs having-arranged he-served

52.1 Ταύτης διαβοήτου τῆς πράξεως ἐν ἅπασι γενομένης
this famous the deed among all having-become
καὶ ἐν τοῖς ἁπάντων στόμασιν οὔσης, παντός τε
and in the of-all mouths being every and
σωφρονοῦντος ἐπὶ τοῖς τοσούτοις ἀτοπήμασι σχετλιάζοντος,
sensible(-man) at the so-great outrages complaining
αὐτὸς μὲν Ῥουφῖνος ὥσπερ τι σεμνὸν ἐργασάμενος ὕπατος
himself indeed Rufinus as-if some august having-done consul
ἀνεδείκνυτο, Τατιανῷ δὲ καὶ τῷ τούτου παιδὶ Πρόκλῳ,
was-proclaimed on-Tatianus and and the of-this-one son Proclus
Ῥουφίνῳ προσκεκρουκόσι δι' οὐδὲν ἕτερον ἢ ὅτι τὰς
to-Rufinus having-given-offense because-of nothing else than that the
ὑπάρχους ἔχοντες ἐξουσίας, ὁ μὲν τῆς αὐλῆς ὁ δὲ
prefect's holding powers the-one indeed of-the court the-other and
τῆς πόλεως, ἀδωρότατα καὶ ὡς ἔνι μάλιστα δεόντως
of-the city most-incorruptibly and as possible most properly
αὐτὰς διετίθεσαν, ἐπήγετο πράγματα λόγον οὐκ ἔχοντα.
them managed were-brought affairs reason not having

52.2 καὶ ἵνα εἰς ἔργον ἀχθείη τὰ κατ' αὐτῶν
and in-order-that into deed it-might-be-brought the(-things) against them
βουλευόμενα, πρότερον ἀπετίθετο Τατιανὸς τὴν ἀρχὴν καὶ
planned first laid-down Tatianus the office and
ἤγετο εἰς κρίσιν, ὑπάρχου τῆς αὐλῆς ἀποδεδειγμένου
was-brought into trial prefect of-the court having-been-appointed
Ῥουφίνου. καὶ τῷ μὲν φαινομένῳ κοινωνεῖν ἐτάχθησαν
Rufinus and in-the indeed appearance to-share were-appointed

ἕτεροι Ρουφίνῳ τῆς κρίσεως, ἐκεῖνος δὲ μόνος εἶχε τῆς
others with-Rufinus of-the trial he and alone held of-the
ψήφου τὸ κῦρος.
vote the authority
ἐπεὶ δὲ Πρόκλος αἰσθόμενος τῆς ἐπιβουλῆς ἔλαθεν ἑαυτὸν 52.3
when and Proclus having-perceived the plot escaped-notice himself
ἀποκρύψας, ὑφορώμενος ὁ Ῥουφῖνος τὸ δραστήριον τοῦ
having-hidden suspecting — Rufinus the energy of-the
ἀνδρός, δεδιὼς δὲ μὴ νεώτερόν τι φρονήσας συνταράξῃ
man fearing and lest revolution something having-planned he-should-confound
τινὶ τὰ κατ᾽ αὐτὸν μηχανῇ, μετελθὼν ἀπάτῃ τὸν
by-some the(-affairs) concerning him device having-approached by-deceit the
πατέρα καὶ ὅρκοις, καὶ τὸν βασιλέα πείσας ὑποφῆναι καὶ
father and by-oaths and the emperor having-persuaded to-hold-out both
αὐτῷ καὶ τῷ παιδὶ μεγίστας ἐλπίδας, τούτῳ τε τῷ τρόπῳ
to-him and to-the son greatest hopes by-this and the way
μεταγαγὼν ἐκ τῆς ἀληθοῦς ὑπονοίας εἰς ματαίους ὀνείρους,
having-led-away from the true suspicion into vain dreams
ἀναπείθει Τατιανὸν γράμμασι τὸν παῖδα μετακαλέσασθαι.
persuades Tatianus by-letters the son to-recall
Πρόκλον μὲν οὖν ἅμα τῷ φανῆναι συναρπασθέντα τὸ 52.4
Proclus indeed then at-once with-the to-appear seized the
δεσμωτήριον δέχεται, Τατιανοῦ δὲ τῇ τῆς πατρίδος οἰκήσει
prison receives Tatianus and to-the of-the native-land dwelling
παραδοθέντος ἀκροάσεις συνεχεῖς ἐπὶ τῇ Πρόκλου συνῆεσαν
having-been-assigned hearings continual for the of-Proclus met
κρίσει, καὶ τελευτῶντες οἱ δικασταὶ κατὰ τὸ Ῥουφίνῳ
trial and at-last the judges according-to the with-Rufinus
συγκείμενον ἀπάγεσθαι τοῦτον ἐν Συκαῖς τῷ προαστείῳ
agreed(-plan) to-be-led-away him in Sycae the suburb
τὴν ἐπὶ θανάτῳ προσέταττον. οὗπερ αἰσθόμενος ὁ
the(-road) to death ordered which-very having-perceived the

βασιλεὺς ἔστελλε μὲν δῆθεν τὸν ἀνακαλεσόμενον ἐκ τοῦ
emperor sent indeed forsooth the(-one) going-to-recall from the
τραχήλου τὸ ξίφος· ὃ δὲ συνθήματι Ῥουφίνου πειθόμενος
neck the sword he and by-the-signal of-Rufinus obeying
σχολαίτερον ἀπιών, ἔφθασεν ἤδη πεσοῦσαν τὴν κεφαλήν.
more-slowly going-away found already fallen the head

VIII · EUGENIUS, AND THE FRIGIDUS

In the west Arbogast, a Frank, has taken the army's command into his own hands and controls Valentinian, who tries to dismiss him and is defied. Arbogast befriends the rhetorician Eugenius, whom Richomer had commended to him, kills Valentinian at Vienne, and proclaims Eugenius emperor. Galla mourns her brother, and Theodosius, grieving, prepares for war; Richomer dies, and Theodosius puts off his answer to Eugenius' envoy, an Athenian named Rufinus. At a feast of his barbarian allies a quarrel ends with Fravitta killing Eriulphus. Theodosius appoints Timasius, Stilicho, Gainas, Saul, and Bacurius, mourns Galla, and leaves Arcadius in the prefect Rufinus' care. He marches with Honorius through the Alps; after a day of battle during an eclipse he falls on Eugenius' camp at dawn, Eugenius is beheaded, and Arbogast kills himself. At Rome he fails to turn the senate from the ancestral rites and ends the public expense for them; he gives the west to Honorius, with Stilicho as guardian, and dies of illness returning to Constantinople.

53.1 Ἐν δὲ τῷ ταῦτα πράττεσθαι Οὐαλεντινιανὸς ὁ βασιλεὺς
in and the these-things to-be-done Valentinian the emperor
ἀγγέλλεται τελευτήσας. ὁ δὲ τῆς τελευτῆς τρόπος
is-reported having-died the and of-the death manner
ἐγένετο τοιόσδε. Ἀρβογάστης ἐκ τοῦ Φράγγων ὁρμώμενος
was such Arbogast from the of-Franks coming
ἔθνους, Βαύδωνι δὲ ὑποστρατηγεῖν ὑπὸ Γρατιανοῦ
race to-Bauto and to-be-lieutenant under Gratian
βασιλεύοντος τεταγμένος, ἐκείνου τελευτήσαντος τῷ
reigning appointed him having-died by-the

δραστηρίῳ τεθαρρηκὼς τὴν στρατιωτικὴν ἀρχὴν εἰς
energy having-taken-courage the military command to
ἑαυτὸν περιέστησε βασιλέως οὐ δεδωκότος, κατάλληλος δὲ
himself brought the-emperor not having-given(-it) suited and
τοῖς ὑποτεταγμένοις αὐτῷ στρατιώταις ὀφθεὶς διά
to-the subordinated to-him soldiers having-appeared because-of
τε ἀνδρείαν καὶ πολεμικὴν ἐπιστήμην καὶ χρημάτων
both courage and military knowledge and of-money
ὑπεροψίαν ἐπὶ μέγα προῆλθε δυνάμεως, καὶ τοσοῦτος ἦν
disdain to great he-advanced power and so-great he-was
ὥστε καὶ πρὸς τὸν βασιλέα παρρησιάζεσθαι, καὶ ὅσα
that even toward the emperor to-speak-freely and as-much-as
μὴ καλῶς αὐτῷ μηδὲ προσηκόντως ἔχειν ἐδόκει κωλύειν.
not well to-him nor fittingly to-be seemed to-hinder
πρὸς ταῦτα δυσανασχετῶν ὁ Οὐαλεντινιανὸς ἀντέτεινε 53.2
at these-things being-indignant — Valentinian resisted
μὲν πολλάκις, ἤνυε δὲ οὐδέν· ὠχύρωτο γὰρ ὁ
indeed often accomplished and nothing had-been-fortified for —
Ἀρβογάστης τῇ τῶν στρατιωτῶν ἁπάντων εὐνοίᾳ.
Arbogast by-the of-the soldiers all goodwill
ὑποτετάχθαι δὲ τούτῳ περαιτέρω μὴ φέρων, ἐπειδὴ
to-be-subordinated and to-this-man further not bearing since
καθήμενος ἐπὶ τοῦ βασιλείου θρόνου τὸν Ἀρβογάστην
sitting on the royal throne — Arbogast
ἐθεάσατο προσιόντα, δριμύτερον ὑποβλέπων δέδωκεν αὐτῷ
he-saw approaching more-sharply glaring he-gave him
γράμματα τῆς ἀρχῆς παραλύοντα.
letters from-the office removing(-him)
ὁ δὲ ἀναγνοὺς ‘οὔτε δέδωκάς μοι’ φησί ‘τὴν ἀρχὴν 53.3
he and having-read neither you-gave me says the office
οὔτε ἀφελέσθαι δυνήσῃ.’ καὶ ταῦτα εἰπών, διαρρήξας
nor to-take-away will-you-be-able and these-things having-said having-torn-up

τε τὸ γραμμάτιον καὶ ἐπὶ τῆς γῆς ἀφείς, ἀπιὼν
both the writing and on the ground having-thrown going-away
ᾤχετο. τότε δὴ λοιπὸν οὐκ ἐν ἀπορρήτῳ τὰ τῆς
departed then indeed thenceforth not in secret the(-things) of-the
ὑποψίας ἐτρέφετο, φανερὰ δὲ παρὰ πᾶσι τὰ τῆς
suspicion were-nourished manifest and to all the(-things) of-the
πρὸς ἀλλήλους αὐτοῖς ἐγίνετο δυσμενείας.
toward one-another to-them became hostility

53.4 καὶ ὁ μὲν Οὐαλεντινιανὸς συνεχέσι πρὸς τὸν βασιλέα
and — indeed Valentinian with-continual to the emperor
Θεοδόσιον γράμμασιν ἐχρῆτο, τὴν κατὰ τῆς βασιλείας
Theodosius letters used the against the rule
ἀλαζονείαν τἀνδρὸς ἐξαγγέλλων, καὶ βοηθεῖν παρεκάλει,
arrogance of-the-man reporting and to-help urged
δραμεῖσθαι πρὸς αὐτόν, εἰ μὴ τάχιστα τοῦτο ποιήσειεν,
to-run to him if not very-soon this he-should-do
ἐπομνύμενος· Ἀρβογάστῃ δὲ τὸ πρακτέον ἀνασκοποῦντι
swearing to-Arbogast and the to-be-done considering
γνώμη τις ἐπῄει τοιαύτη.
judgment some came such

54.1 ἦν τις ἐν τοῖς βασιλείοις ἀναστρεφόμενος Εὐγένιος
there-was someone in the palace going-about Eugenius
ὄνομα, παιδείᾳ προήκων ἐπὶ τοσοῦτον ὥστε καὶ ῥητορικὸν
by-name in-learning advanced to so-much that also rhetorical
ἐπανελέσθαι βίον καὶ προεστάναι διδασκαλείου. πρὸς
to-have-chosen life and to-preside-over a-school to
τοῦτον ὁ Ῥιχομήρης οἷα σφόδρα χαρίεντα καὶ ἀστεῖον
this-man — Richomer as very gracious and urbane
ἔχων οἰκείως Ἀρβογάστῃ συνίστησιν, ἔχειν ἐν τοῖς
having intimately to-Arbogast commends to-have among the

συνήθεσι καὶ φίλοις αἰτήσας ὡς οὐκ ἐσόμενον ἄχρηστον,
familiars and friends having-asked as not going-to-be useless
εἴ ποτε πρᾶγμα φιλίας ἀληθοῦς δεόμενον ἀνακύψειε.
if ever a-matter of-friendship true needing should-emerge
Ῥιχομήρους τοιγαροῦν ὡς τὸν βασιλέα Θεοδόσιον 54.2
Richomer accordingly to the emperor Theodosius
ἐκδημήσαντος, ἡ συνεχὴς συνουσία φίλον Ἀρβογάστῃ
having-gone-abroad the continual intercourse friend to-Arbogast
τὸν Εὐγένιον ἐς τὰ μάλιστα πεποίηκε, καὶ οὐδὲν ἦν
— Eugenius to the most has-made and nothing there-was
ὃ μὴ ἐθάρρει τῶν σπουδαίων αὐτῷ. τότε δὴ τὸν
which not he-trusted of-the earnest(-matters) to-him then indeed —
Εὐγένιον τοῦτον λαβὼν κατὰ νοῦν, καὶ ὅτι διὰ
Eugenius this having-taken into mind and that because-of
παιδείας ὑπερβολὴν καὶ τὴν ἄλλην τοῦ βίου σεμνότητα
of-learning excess and the other of-the life dignity
πρὸς ἀγαθὴν βασιλείαν ἁρμοδιώτατος ἔσται, κοινοῦται
for good rule most-suitable he-will-be communicates
μὲν αὐτῷ τὰ βεβουλευμένα, δυσαρεστοῦντα δὲ
indeed to-him the(-things) planned displeased and
τοῖς λεγομένοις ἰδὼν ἐπέμενε θεραπεύων καὶ μὴ
at-the(-things) said having-seen(-him) he-persisted courting and not
ἀποσείσασθαι τὰ δωρούμενα παρὰ τῆς τύχης αἰτῶν.
to-shake-off the(-things) given by the fortune asking
ἐπεὶ δὲ ἔπεισεν, ἄμεινον ἔχειν ᾠήθη Οὐαλεντινιανὸν 54.3
since and he-persuaded(-him) better to-be he-thought Valentinian
ἐκποδὼν πρότερον καταστῆσαι καὶ οὕτως Εὐγενίῳ
out-of-the-way first to-put and so to-Eugenius
παραδοῦναι τὴν μοναρχίαν. τῷ βασιλεῖ τοίνυν ἐν Βιέννῃ
to-hand-over the monarchy the emperor therefore in Vienne
Κελτικῇ πόλει τὰς διατριβὰς ποιουμένῳ καὶ περὶ τὸ
a-Celtic city the stays making and about the

ταύτης τεῖχος ἅμα τισὶ τῶν στρατιωτῶν παιδιαῖς
of-this wall with some of-the soldiers in-games
ἐνασχολουμένῳ καὶ μηδὲν τοιοῦτον ἔχοντι κατὰ νοῦν
being-occupied and nothing such having in mind
ἐμπεσὼν παίει καιρίαν καὶ διαφθείρει.
having-fallen-upon strikes a-mortal(-blow) and destroys(-him)

54.4 πάντων δὲ σιωπῇ τὸ τολμηθὲν ἐνεγκόντων διά
all and in-silence the(-thing) dared having-borne because-of
τε τοῦ ἀνδρὸς τὸ ἀξίωμα καὶ τὴν ἐν πολέμοις ἀνδρείαν,
both of-the man the rank and the in wars courage
καὶ προσέτι γε ὅτι πολλὴν αὐτῷ διὰ τὸ χρημάτων
and besides at-least that much to-him because-of the money
ὑπερορᾶν οἱ στρατιῶται συνεισέφερον εὔνοιαν, ἀναδείκνυσιν
to-disdain the soldiers contributed goodwill proclaims
Εὐγένιον βασιλέα, πᾶσιν ἐπ᾽ αὐτῷ χρηστὰς ἔχειν δεδωκὼς
Eugenius emperor to-all in him good to-have having-given
ἐλπίδας διὰ τὰ τῷ ἀνδρὶ προσόντα πλεονεκτήματα.
hopes because-of the to-the man belonging advantages

55.1 Τούτων τῷ βασιλεῖ Θεοδοσίῳ συναγγελθέντων
these-things to-the emperor Theodosius having-been-reported-together
συνετάραξεν ἡ τούτου γαμετὴ Γάλλα τὰ βασίλεια, τὸν
threw-into-confusion the his wife Galla the palace the
ἀδελφὸν ὀλοφυρομένη. πολλῇ δὲ καὶ ὁ βασιλεὺς λύπῃ
brother lamenting much and also the emperor by-grief
τε ἅμα καὶ φροντίδι κατείχετο, κοινωνοῦ μὲν τῆς ἀρχῆς
both at-once and by-care was-held of-a-partner indeed of-the rule
ἐκπεσὼν καὶ νέου καὶ ἀγχιστείᾳ συναπτομένου, περιπεσὼν
having-lost and young and by-kinship joined having-fallen-in
δὲ ἀνδράσιν ἀλλοτρίως τε πρὸς αὐτὸν ἔχουσι καὶ
and with-men hostilely both toward him being-disposed and
ἄλλως οὖσιν ἀμάχοις διά τε τὴν Ἀρβογάστου θρασύτητι
otherwise being invincible because-of both the of-Arbogast with-rashness

μεμιγμένην ἀνδρείαν καὶ τὰς Εὐγενίῳ προσούσας μετὰ
mixed courage and the to-Eugenius belonging with
παιδεύσεως ἀρετάς.
learning virtues
καίπερ οὖν ταῦτα λέγων τε καὶ ἀνακινῶν τῷ λογισμῷ 55.2
although then these-things saying both and stirring-up in-the reasoning
πολλάκις, ἀναρρῖψαι τὸν ὑπὲρ πάντων ὁμοῦ τῶν
often to-throw the for all together the
πραγμάτων κύβον ἐγνώκει, παντοίαις παρασκευαῖς εἰς
affairs die he-had-resolved all-kinds-of preparations for
τὸν πόλεμον χρώμενος. καὶ τὰ μὲν ἱππικὰ τάγματα
the war using and the indeed cavalry units
Ῥιχομήρει καταπιστεῦσαι διενοεῖτο, τῆς ἀνδραγαθίας
to-Richomer to-entrust he-intended of-the bravery
τἀνδρὸς ἐκ πολλῶν ἤδη πολέμων πεπειραμένος, ἑτέρους
of-the-man from many already wars having-made-trial others
δὲ τοῖς ἄλλοις τέλεσιν ἐπιστῆσαι τοὺς ἡγουμένους·
and over-the other units to-set the leaders
Ῥιχομήρους δὲ κατὰ καιρὸν τῆς περὶ ταῦτα βουλῆς 55.3
Richomer and at time of-the about these-things counsel
νόσῳ τελευτήσαντος, εἰκότως ἐφ᾽ ἑτέρας ἡγεμόνων αἱρέσεις
by-illness having-died naturally to other of-leaders choices
ἐτράπετο. γνώμης οὖν ἔτι περὶ τούτου ταῖς τοῦ βασιλέως
he-turned judgment then still about this to-the of-the emperor
ἐννοίαις ὑποκειμένης, ἀπηγγέλλετο πρεσβεία παρὰ Εὐγενίου,
thoughts being-subject was-announced an-embassy from Eugenius
πυνθανομένη τοῦ βασιλέως Θεοδοσίου πότερον τίθεται
inquiring of-the emperor Theodosius whether he-assents
τῷ βασιλεύειν αὐτὸν ἢ ἀποσείεται τὴν ἀνάρρησιν.
to-the to-reign him or rejects the proclamation

55.4 ὁ δὲ τῇ πρεσβείᾳ διακονούμενος ἦν Ῥουφῖνος
the(-one) and in-the embassy serving was Rufinus
Ἀθηναῖος, Ἀρβογάστου μήτε γράμματα κομίσας μήτε
an-Athenian of-Arbogast neither letters having-brought nor
ἄλλην αὐτοῦ τινὰ ποιησάμενος μνήμην. τοῦ δὲ βασιλέως
other of-him any having-made mention the and emperor
εἰς τὸ διασκέψασθαι καὶ προσηκόντως ἀποκρίνασθαι τοῖς
for the to-consider and fittingly to-answer to-the
πρέσβεσιν ἀναβαλλομένου, καὶ ἕτερόν τι τοιόνδε
envoys putting-off also other something such
συνέπεσε πραχθῆναι.
happened to-be-done

56.1 Ἅμα τῷ παραλαβεῖν τὴν βασιλείαν Θεοδόσιος βαρβάρους
at-once with-the to-receive the rule Theodosius barbarians
τινὰς εἰς φιλίαν καὶ ὁμαιχμίαν ἐδέξατο, ἐλπίσιν αὐτοὺς
some into friendship and alliance received with-hopes them
καὶ δωρεαῖς ἄλλαις τιμήσας· εἶχε δὲ ἐν θεραπείᾳ
and with-gifts other having-honored held and in courting
πάσῃ καὶ τοὺς ἑκάστης φυλῆς ἡγουμένους καὶ τραπέζης
all also the of-each tribe leading and of-table
ἠξίου κοινῆς.
deemed(-them)-worthy common

56.2 οὗτοι διέστησαν ταῖς γνώμαις ἔριδος ἐν αὐτοῖς
these were-divided in-the judgments strife among them
κινηθείσης· οἳ μὲν γὰρ ἔφασκον ἄμεινον εἶναι
having-been-moved some indeed for said better to-be
καταφρονῆσαι τῶν ὅρκων, οὓς ἔτυχον δεδωκότες ὅτε
to-despise the oaths which they-happened having-given when
Ῥωμαίοις ἑαυτοὺς ἐνεδίδοσαν, οἳ δὲ τοὐναντίον κατὰ
to-Romans themselves they-surrendered others and the-opposite in
μηδένα τρόπον ἐναντιωθῆναι τοῖς συγκειμένοις. ἦν δὲ
no way to-oppose the(-terms) agreed was and

ὁ μὲν πατῆσαι τὴν πίστιν ἐθέλων καὶ πρὸς τοῦτο
the(-one) indeed to-trample-on the faith wishing and to this
τοὺς ὁμοφύλους παρακαλῶν Ἐρίουλφος, Φράουιττος δὲ
the kinsmen urging Eriulphus Fravitta and
ὁ τοῖς ὀμωμοσμένοις ἐμμεῖναι φιλονεικῶν.
the(-one) to-the(-oaths) sworn to-abide contending
καὶ ἐπὶ πολὺ μὲν ταύτην ἔχοντες ἐν ἑαυτοῖς τὴν 56.3
and for long indeed this having among themselves the
ἔριν ἐλάνθανον· ἐπεὶ δὲ τραπέζης ἠξιωμένοι βασιλικῆς,
strife they-escaped-notice since and of-table deemed-worthy royal
ἐκτεινομένου τοῦ πότου παρετράπησαν καὶ εἰς ὀργὴν
being-prolonged the drinking they-were-carried-away and into anger
ἐξενεχθέντες ἦν εἶχον ἐξέφηναν γνώμην, ὁ μὲν
having-been-brought-out what they-had revealed judgment the indeed
βασιλεὺς τῆς ἑκάστου προαιρέσεως αἰσθόμενος διέλυσε
emperor of-the of-each policy having-perceived dissolved
τὴν ἑστίασιν, ἀναχωρήσαντες δὲ τῶν βασιλείων εἰς
the feast having-withdrawn and from-the palace to
τοσοῦτον ἐξέστησαν ἕως οὐκ ἐνεγκὼν ὁ Φράουιττος
such they-lost-control until not having-borne — Fravitta
εἵλκυσέ τε τὸ ξίφος καὶ τὸν Ἐρίουλφον παίσας ἀνεῖλεν.
drew both the sword and — Eriulphus having-struck killed
ὡς δὲ ἐπελθεῖν οἱ τούτου στρατιῶται τῷ Φραουίττῳ
as and to-attack the his soldiers — to-Fravitta
διενοήθησαν, ἐν μέσῳ στάντες οἱ βασιλικοὶ δορυφόροι
intended in middle having-stood the royal guards
περαιτέρω προελθεῖν τὴν στάσιν ἐκώλυσαν.
further to-advance the strife prevented
Ἀλλὰ ταῦτα μὲν ὁ βασιλεὺς ἀκηκοὼς ἤνεγκέ τε μετρίως 57.1
but these-things indeed the emperor having-heard bore both moderately
καὶ ἐν αὑτοῖς δαπανᾶσθαι δυσμεναίνοντας συνεχώρησε,
and among themselves to-be-consumed being-hostile permitted

τοὺς δὲ πρέσβεις δώροις τε καὶ λόγοις ἀπαγαγὼν τὸ
the and envoys with-gifts both and with-words having-led-away the
μέτριον ἐν ἑαυτοῖς ἔχειν δοκοῦσιν ἔπεμπεν ἐπ᾽ οἶκου, καὶ μετὰ
moderation in themselves to-have seeming he-sent to home and after
τὴν ἐκείνων ἀποδημίαν τῶν τοῦ πολέμου παρασκευῶν εἶχετο.
the of-those departure of-the of-the war preparations held-to
57.2 κεφάλαιον δὲ τῆς παρασκευῆς, ὥσπερ οὖν ἔστιν, οἰόμενος
head and of-the preparation as indeed it-is thinking
εἶναι τὴν τῶν στρατηγῶν αἵρεσιν, τῶν μὲν Ῥωμαϊκῶν
to-be the of-the generals choice of-the indeed Roman
στρατοπέδων ἔταξεν ἡγεῖσθαι Τιμάσιον καὶ ἐπὶ τούτῳ
armies he-appointed to-lead Timasius and after this-man
Στελίχωνα (συνῴκει δὲ οὗτος Σερήνῃ Θεοδοσίου τοῦ
Stilicho was-married and this-man to-Serena of-Theodosius the
βασιλέως ἀδελφοῦ θυγατρί), τοὺς δὲ συμμαχοῦντας αὐτῷ
emperor's brother daughter the and allied to-him
βαρβάρους ὑπὸ Γαΐνῃ ἔταξε καὶ Σαούλ.
barbarians under Gainas he-ranged and Saul
57.3 ἐκοινώνει δὲ τῆς ἀρχῆς αὐτοῖς καὶ Βακούριος, ἕλκων
shared and of-the command with-them also Bacurius drawing
μὲν ἐξ Ἀρμενίας τὸ γένος, ἔξω δὲ πάσης κακοηθείας
indeed from Armenia the descent outside and all malice
ἀνὴρ μετὰ τοῦ καὶ τὰ πολεμικὰ πεπαιδεῦσθαι. ἡ μὲν
a-man with the also the war(-arts) to-have-been-trained the indeed
οὖν ἀρχαιρεσία τοῦτον αὐτῷ διετέθη τὸν τρόπον, ἤδη
then election-of-officers this for-him was-arranged the way already
δὲ αὐτῷ πρὸς τὴν ἔξοδον ἐπειγομένῳ συμβέβηκε Γάλλαν
and him for the setting-out hastening it-happened Galla
τὴν γαμετὴν ἐν ταῖς ὠδῖσιν αὐταῖς τελευτῆσαι, σὺν τῷ
the wife in the pangs themselves to-die with the
βρέφει καὶ τὸν βίον ἀποθεμένην.
infant also the life having-laid-down

ταύτην μὲν οὖν κατὰ τὸν Ὁμηρικὸν νόμον ὁ βασιλεὺς 57.4
this-one indeed then according-to the Homeric law the emperor
ἐπ᾽ ἤματι δακρύσας ἀπεχώρει σὺν τῷ στρατῷ τὰ
for a-day having-wept departed with the army the(-affairs)
κατὰ τὸν πόλεμον διαθήσων, ἀπολιπὼν Ἀρκάδιον τὸν
of the war going-to-settle having-left Arcadius the
υἱόν, ἤδη πρὸ τούτου βασιλέα καθεσταμένον. ἐπεὶ δὲ
son already before this emperor established since and
νέος ἦν ἔτι, τὸ λεῖπον εἰς φρόνησιν αὐτῷ διὰ τὴν
young he-was still the lacking for prudence to-him because-of the
νεότητα θεραπεύων ἀπέλιπεν αὐτόθι Ῥουφῖνον, ἅμα τε
youth tending he-left there Rufinus at-once both
τῆς αὐλῆς ὕπαρχον ὄντα καὶ ἐς πᾶν ὁτιοῦν ἕτερον
of-the court prefect being and into all whatever else
τῆς ἑαυτοῦ κυριεύοντα γνώμης, πράττοντά τε ὅσα
of-the his-own mastering judgment doing and as-much-as
βασιλεῖ δίδωσιν ἡ τῆς ὑπεροχῆς ἐξουσία.
to-an-emperor gives the of-the preeminence power
Ταῦτά τε διαθείς, καὶ τὸν νεώτερον τῶν παίδων 58.1
these-things both having-arranged and the younger of-the sons
Ὁνώριον ἅμα ἑαυτῷ συνεξαγαγών, τὰ ἐν μέσῳ πάντα
Honorius with himself having-brought-out the in middle all
διέδραμεν ἔθνη, καὶ τῆς διὰ τῶν Ἄλπεων παρόδου
ran-through peoples and of-the through the Alps passage
κρατήσας παρὰ πᾶσαν ἐλπίδα τοῖς πολεμίοις ἐπέστη.
having-mastered beyond all hope upon-the enemies came
καὶ τὸν μὲν Εὐγένιον τῷ παραλόγῳ κατέπληξεν· 58.2
and — indeed Eugenius by-the unexpectedness astounded
οἰηθεὶς δὲ ἄμεινον εἶναι τὸ βάρβαρα τάγματα τοῖς
having-thought and better to-be the barbarian units against-the
ἐναντίοις καθεῖναι καὶ τούτοις πρότερον διακινδυνεύειν,
opponents to-send-in and with-these first to-risk-battle

Γαΐνην ἔταξε σὺν τοῖς ὑπ᾽ αὐτὸν ἔθνεσιν ἐπελθεῖν,
Gainas he-appointed with the under him peoples to-attack
ἑπομένων αὐτῷ καὶ τῶν ἄλλων ἡγεμόνων, ὅσοι τῶν
following him also the other leaders as-many-as of-the
βαρβαρικῶν ἔλαχον ἐξηγεῖσθαι ταγμάτων, ἱππέων τε
barbarian were-allotted to-command units of-horsemen both
ὁμοῦ καὶ ἱπποτοξοτῶν καὶ πεζῶν.
together and horse-archers and of-foot-soldiers

58.3 ἀντεπεξελθόντος δὲ Εὐγενίου παντὶ τῷ στρατεύματι
having-come-out-against(-him) and Eugenius with-all the army
συμπεσόντων ἀλλήλοις τῶν στρατοπέδων, ἡλίου μὲν
having-clashed with-one-another the armies of-the-sun indeed
ἔκλειψιν ἐν αὐτῷ τῷ καιρῷ τῆς μάχης συνέβη γενέσθαι
eclipse in itself the moment of-the battle happened to-occur
τοιαύτην ὥστε νύκτα εἶναι μᾶλλον ἐπὶ πλείονα νομίζεσθαι
such that night to-be rather for longer to-be-thought
χρόνον, νυκτομαχοῦντα δὲ τρόπον τινὰ τὰ στρατεύματα
time fighting-by-night and in-a-way some the armies
τοσοῦτον ἐργάσασθαι φόνον ὥστε κατ᾽ αὐτὴν τὴν ἡμέραν
so-great to-work slaughter that on itself the day
τὸ μὲν πολὺ μέρος τῶν Θεοδοσίῳ τῷ βασιλεῖ
the indeed great part of-the(-ones) to-Theodosius the emperor
συμμαχούντων ἀποθανεῖν, καὶ τῶν στρατηγῶν Βακούριον
allied to-die and of-the generals Bacurius
ἀνδρειότατα τῶν σφετέρων προκινδυνεύσαντα, τοὺς δὲ
most-bravely of-the his-own(-men) having-run-risk-in-front the and
ἄλλους παραλόγως ἅμα τοῖς περιλειφθεῖσι διαφυγεῖν.
others beyond-expectation with the(-ones) left to-escape

58.4 ἐπεὶ οὖν νυκτὸς γενομένης ἐφ᾽ ἑαυτῶν ἐγίνετο τὰ στρατόπεδα,
since then night having-come by themselves were the armies
ὁ μὲν Εὐγένιος ἐπαρθεὶς τῷ προτερήματι δῶρά τε
— indeed Eugenius elated by-the advantage gifts both

διένειμε τοῖς ἠριστευκόσι καὶ ἐνεδίδου δειπνεῖν, ὡς δὴ
distributed to-the(-ones) having-excelled and allowed(-them) to-dine as indeed
μηδενὸς ἔτι μετὰ τοσοῦτον ἐλάττωμα πολέμου γενησομένου·
no still after so-great defeat war going-to-happen
τῶν δὲ ἐπὶ τὸ ἑστιᾶσθαι τραπέντων, ὁ βασιλεὺς Θεοδόσιος
they and to the to-feast having-turned the emperor Theodosius
ὄρθρον ἤδη μέλλοντα θεασάμενος ἐπέπεσε σὺν παντὶ
dawn already being-about having-seen fell-upon(-them) with all
τῷ στρατεύματι κειμένοις ἔτι τοῖς πολεμίοις, καὶ οὐδενὸς
the army lying still the enemies and nothing
ὧν ἔπασχον αἰσθανομένους ἀπέσφαττε.
of-what they-were-suffering perceiving he-slaughtered
προελθὼν δὲ καὶ μέχρι τῆς Εὐγενίου σκηνῆς καὶ τοῖς 58.5
having-advanced and also up-to the of-Eugenius tent and on-the(-ones)
ἀμφ᾽ αὐτὸν ἐπιθέμενος ἀνεῖλε τοὺς πλείονας. ἔνιοι δὲ τῇ
about him having-fallen killed the most some and by-the
καταπλήξει διεγερθέντες καὶ ὁρμήσαντες εἰς φυγὴν ἥλωσαν·
panic aroused and having-rushed to flight were-caught
ἐν οἷς καὶ αὐτὸς Εὐγένιος ἦν, ὃν συναρπάσαντες
among whom also himself Eugenius was whom having-seized
καὶ τὴν κεφαλὴν ἀφελόμενοι κοντῷ τε διαπείραντες
and the head having-taken-off on-a-pole and having-fixed
μακροτάτῳ πᾶν περιέφερον τὸ στρατόπεδον, δεικνύντες
very-long through-all carried-around the army showing
τοῖς ἔτι τἀκείνου φρονοῦσιν ὡς προσήκει
to-the(-ones) still the(-cause)-of-that-one favoring that it-is-fitting
Ῥωμαίους ὄντας ὡς τὸν βασιλέα ταῖς γνώμαις ἐπανελθεῖν,
Romans being to the emperor in-the judgments to-return
ἐκποδὼν μάλιστα τοῦ τυράννου γεγενημένου.
out-of-the-way especially the tyrant having-been-put

58.6 πάντες μὲν οὖν ὡς εἰπεῖν οἱ μετὰ τὴν νίκην
all indeed then so to-say the(-ones) after the victory
ὑπολειφθέντες ἐπὶ τὸν βασιλέα δραμόντες τοῦτόν τε
left to the emperor having-run him both
Αὔγουστον ἀνεβόησαν καὶ ἐπὶ τοῖς ἡμαρτημένοις ἠξίουν
Augustus shouted and for the offenses asked
ἔχειν συγγνώμην, καὶ ὁ βασιλεὺς ῥᾳον ἐπένευεν·
to-have pardon and the emperor readily nodded-assent
Ἀρβογάστης δὲ τυχεῖν ὑπὸ Θεοδοσίου φιλανθρωπίας οὐκ
Arbogast and to-obtain from Theodosius humanity not
ἀξιώσας ἐπὶ τὰ τραχύτατα συνέφυγε τῶν ὀρῶν,
having-deemed-fit to the most-rugged fled of-the mountains
αἰσθόμενος δὲ ὡς πάντα περινοστοῦσι τόπον οἱ
having-perceived and that every go-about place the(-ones)
τοῦτον ἐπιζητοῦντες ἑαυτὸν ὑπέσχε τῷ ξίφει, τὸν ἑκούσιον
him seeking himself submitted to-the sword the voluntary
θάνατον τῆς ὑπὸ τῶν ἐχθρῶν συλλήψεως προτιμήσας.
death to-the by the enemies capture having-preferred

59.1 Τῶν δὲ πραγμάτων ὧδε τῷ βασιλεῖ Θεοδοσίῳ
the and affairs thus for-the emperor Theodosius
προχωρησάντων, ἐπιδημήσας τῇ Ῥώμῃ τὸν υἱὸν Ὀνώριον
having-progressed having-visited — Rome the son Honorius
ἀναδείκνυσι βασιλέα, Στελίχωνα στρατηγόν τε ἀποφήνας
proclaims emperor Stilicho general both having-declared
ἅμα τῶν αὐτόθι ταγμάτων καὶ ἐπίτροπον καταλιπὼν
at-once of-the there units and guardian having-left
τῷ παιδί. συγκαλέσας δὲ τὴν γερουσίαν τοῖς ἄνωθεν
for-the son having-summoned and the senate in-the from-of-old
παραδεδομένοις ἐμμένουσαν πατρίοις καὶ οὐχ ἑλομένην
handed-down abiding ancestral and not having-chosen
ἔτι συνενεχθῆναι τοῖς ἐπὶ τὴν τῶν θεῶν ἀποκλίνασι
still to-be-carried-along with-the(-ones) to the of-the gods having-inclined

καταφρόνησιν, λόγους προσῆγε, παρακαλῶν ἀφιέναι μὲν
contempt words he-addressed urging to-give-up indeed
ἣν πρότερον μετῄεσαν, ὡς αὐτὸς ἔλεγε, πλάνην, ἑλέσθαι
what before they-pursued as he-himself said error to-choose
δὲ τὴν τῶν Χριστιανῶν πίστιν, ἧς ἐπαγγελία παντὸς
and the of-the Christians faith whose promise of-every
ἁμαρτήματος καὶ πάσης ἀσεβείας ἀπαλλαγή.
sin and of-all impiety release
μηδενὸς δὲ τῇ παρακλήσει πεισθέντος, μηδὲ ἑλομένου 59.2
no-one and by-the exhortation having-been-persuaded nor having-chosen
τῶν ἀφ᾽ οὗπερ ἡ πόλις ᾠκίσθη παραδεδομένων
from-the from when the city was-founded handed-down
αὐτοῖς πατρίων ἀναχωρῆσαι καὶ προτιμῆσαι τούτων
to-them ancestral to-withdraw and to-prefer to-these
ἄλογον συγκατάθεσιν (ἐκεῖνα μὲν γὰρ φυλάξαντας ἤδη
irrational assent those indeed for having-kept already
διακοσίοις καὶ χιλίοις σχεδὸν ἔτεσιν ἀπόρθητον τὴν πόλιν
two-hundred and thousand almost years unsacked the city
οἰκεῖν, ἕτερα δὲ ἀντὶ τούτων ἀλλαξαμένους τὸ
to-inhabit others and in-place-of these having-exchanged the(-outcome)
ἐκβησόμενον ἀγνοεῖν), τότε δὴ ὁ Θεοδόσιος βαρύνεσθαι
going-to-result to-not-know then indeed — Theodosius to-be-burdened
τὸ δημόσιον ἔλεγε τῇ περὶ τὰ ἱερὰ καὶ τὰς θυσίας
the treasury said by-the about the rites and the sacrifices
δαπάνῃ, βούλεσθαί τε ταῦτα περιελεῖν, οὔτε τὸ
expense to-wish and these to-take-away neither the(-thing)
πραττόμενον ἐπαινοῦντα, καὶ ἄλλως τῆς στρατιωτικῆς
being-done praising and otherwise of-the military
χρείας πλειόνων δεομένης χρημάτων.
need more needing money

59.3 τῶν δὲ ἀπὸ τῆς γερουσίας μὴ κατὰ θεσμὸν εἰπόντων
the(-ones) and from the senate not according-to ordinance having-said
πράττεσθαι τὰ τελούμενα μὴ δημοσίου τοῦ δαπανήματος
to-be-performed the(-rites) being-performed not public the expense
ὄντος, διὰ τοῦτο τότε τοῦ θυηπολικοῦ θεσμοῦ λήξαντος
being because-of this then the sacrificial ordinance having-ceased
καὶ τῶν ἄλλων ὅσα τῆς πατρίου παραδόσεως ἦν
and of-the other(-things) as-many-as of-the ancestral tradition were
ἐν ἀμελείᾳ κειμένων, ἡ Ῥωμαίων ἐπικράτεια κατὰ μέρος
in neglect lying the of-Romans dominion by part
ἐλαττωθεῖσα βαρβάρων οἰκητήριον γέγονεν, ἢ καὶ τέλεον
diminished of-barbarians a-dwelling-place has-become or also completely
ἐκπεσοῦσα τῶν οἰκητόρων εἰς τοῦτο κατέστη σχήματος ὥστε
having-lost the inhabitants into this came of-condition that
μηδὲ τοὺς τόπους ἐν οἷς γεγόνασιν αἱ πόλεις ἐπιγινώσκειν.
not-even the places in which have-been the cities to-recognize

59.4 ἀλλὰ ταῦτα μὲν εἰς τοῦτο τύχης ἐνεχθέντα δείξει
but these-things indeed to this of-fortune having-been-carried will-show
σαφῶς ἡ κατὰ μέρος τῶν πραγμάτων ἀφήγησις· ὁ δὲ
clearly the in detail of-the affairs narration the and
βασιλεὺς Θεοδόσιος τὰ κατὰ τὴν Ἰταλίαν ἔθνη καὶ Ἴβηρας
emperor Theodosius the in — Italy peoples and Iberians
καὶ Κελτοὺς καὶ προσέτι γε Λιβύην ἅπασαν Ὀνωρίῳ
and Celts and besides at-least Libya all to-Honorius
τῷ παιδὶ παραδούς, αὐτὸς εἰς τὴν Κωνσταντινούπολιν
the son having-handed-over himself to — Constantinople
ἐπανιὼν ἐτελεύτησε νόσῳ, καὶ τὸ τούτου σῶμα ταριχευθὲν
returning died of-illness and the his body embalmed
τοῖς ἐν τῇ Κωνσταντινουπόλει βασιλικοῖς τάφοις ἐναπετέθη.
in-the in — Constantinople imperial tombs was-laid

IX · RUFINUS, STILICHO, AND ALARIC

Arcadius and Honorius rule in name; Rufinus in the east and Stilicho in the west sell justice and amass wealth. Rufinus has Lucianus, count of the east, beaten to death at Antioch, and hopes to marry his daughter to Arcadius, but the eunuch Eutropius shows the emperor a portrait of a beautiful girl brought up in the house of Promotus' son, and the emperor marries her. Stilicho marries his own daughter to Honorius and sends the weaker troops east. To weaken Arcadius' army Rufinus makes Antiochus proconsul of Greece, puts Gerontius at Thermopylae, and secretly invites Alaric in; Gerontius gives up the pass and Boeotia is ravaged, but at Athens Alaric sees Athena and Achilles on the walls and makes terms. Corinth, Argos, and Sparta fall. Stilicho traps Alaric on Pholoe but lets him slip away into Epirus. Gainas, sent east with troops by Stilicho, has Rufinus cut down before Arcadius, and Eutropius succeeds to his power and plots against Timasius.

Τῆς δὲ τῶν ὅλων ἀρχῆς εἰς Ἀρκάδιον καὶ Ὀνώριον 1.1
the and of-the universe rule to Arcadius and Honorius
περιστάσης ἄχρι μὲν ὀνόματος ἐδόκουν ἔχειν τὸ κράτος, ἡ
having-come up-to indeed name they-seemed to-have the power the
δὲ πᾶσα τῆς ἀρχῆς δύναμις ἦν κατὰ μὲν τὴν ἑῴαν παρὰ
and all of-the rule power was in indeed the east with
Ῥουφίνῳ, κατὰ δὲ τὴν ἑσπέραν ἐν τῇ Στελίχωνος γνώμῃ.
Rufinus in and the west in the of-Stilicho judgment
δίκαι τε πᾶσαι παρ' αὐτοῖς κατ' ἐξουσίαν ἐκρίνοντο, καὶ
cases both all with them at will were-judged and
ἀπῄει κεκρατηκὼς ὁ χρημάτων τὴν ψῆφον ὠνούμενος
went-away having-prevailed the(-one) with-money the vote buying
ἢ ἄλλως οἰκειότητι τὴν τοῦ δικάζοντος ἐπισπώμενος εὔνοιαν.
or otherwise by-intimacy the of-the judging drawing-to(-himself) goodwill

1.2 κτήματα δὲ ὅσα τοὺς κυρίους ἐν τοῖς ἁπάντων ἐποίει
estates and as-many-as the owners in the of-all made
στόμασιν εὐδαίμονας ὀνομάζεσθαι, μετῄει πρὸς τούτους, τῶν
mouths happy to-be-called passed to these some
μὲν δωρεαῖς θεραπευόντων καὶ τούτῳ τὸ συκοφαντεῖσθαι
indeed with-gifts courting(-them) and by-this the to-be-falsely-accused
διαφευγόντων, ἑτέρων δὲ τὰ οἰκεῖα προϊεμένων ὑπὲρ τοῦ
escaping others and the own giving-up for the
τυχεῖν ἀρχῆς ἢ ἄλλον τινὰ πρίασθαι τῶν πόλεων ὄλεθρον.
to-obtain office or other some to-purchase of-the cities ruin
1.3 παντὸς δὲ εἴδους πονηρίας ταῖς πόλεσιν ἐπιπολάζοντος,
every and form of-wickedness in-the cities prevailing
ὁ μὲν ἁπανταχόθεν πλοῦτος εἰς τὴν Ῥουφίνου καὶ
the indeed from-all-sides wealth into the of-Rufinus and
Στελίχωνος οἰκίαν εἰσέρρει, ἡ δὲ πενία κατὰ πάντα
of-Stilicho house flowed-in the and poverty in every
τόπον ἐπενέμετο τὰς τῶν πάλαι πλουτούντων οἰκίας.
place grazed-upon the of-the(-ones) formerly wealthy houses
ᾐσθάνοντο δὲ τῶν γινομένων οἱ βασιλεῖς οὐδενός, ἀλλὰ
perceived and of-the(-things) happening the emperors nothing but
ἔγραφον μόνον ὅσα Ῥουφῖνος ἐπέταττε καὶ Στελίχων.
wrote only as-much-as Rufinus ordered and Stilicho
1.4 ἐπεὶ δὲ ἄπλετος ἦν αὐτοῖς πλοῦτος συνειλεγμένος, ἤδη
since and immense was to-them wealth collected already
καὶ τὴν βασιλείαν ἑαυτῷ μνᾶσθαι Ῥουφῖνος ὠνειροπόλει,
also the rule for-himself to-woo Rufinus dreamed
διανοούμενος, ἣν εἶχε θυγατέρα γάμων ὡραίαν,
intending what he-had daughter for-marriage ripe
κατεγγυῆσαι τῷ βασιλεῖ, ὅπερ εἰσδύσεως πρόφασιν εἶχε.
to-betroth to-the emperor which of-entry pretext had
καὶ δὴ καθίησι περὶ τούτου λόγους ἐν παραβύστῳ διά
and indeed lets-down about this words in secret through

τινων ἐπὶ τῇ βασιλικῇ θεραπείᾳ τεταγμένων, αὐτὸς μὲν
some over the royal service appointed himself indeed
οἰόμενος μηδένα παντάπασι τὴν σκέψιν εἰδέναι, τῆς δὲ
thinking no-one at-all the plan to-know the and
φήμης ἄχρι τοῦ δήμου τὸ μελετώμενον ἐνεγκούσης·
report up-to the people the(-thing) being-planned having-carried
ἐκ γὰρ τοῦ τῆς ὑπεροψίας ὄγκου καὶ τῆς ὁσημέραι 1.5
from for the of-the arrogance mass and of-the daily
προστιθεμένης ἀλαζονείας τὴν περὶ τούτου ἔννοιαν ἅπαντες
being-added boastfulness the about this design all
ἐτεκμαίροντο, καὶ τὸ κατ᾽ αὐτοῦ κοινὸν ηὐξάνετο μῖσος. ὃ δέ,
conjectured and the against him common grew hatred he and
ὥσπερ τὰ μετριώτερα πλημμελήματα μείζοσιν ἀτοπήμασιν
as-if the more-moderate offenses with-greater outrages
ἐξεπίτηδες ἀποκρύψαι βουλόμενος, ἕτερον ἐτόλμησε τοιόνδε.
on-purpose to-hide wishing other dared such
Φλωρεντίῳ τῆς αὐλῆς ἐν τοῖς ὑπὲρ τὰς Ἄλπεις ἔθνεσιν 2.1
to-Florentius of-the court in the beyond the Alps peoples
ὑπάρχῳ γενομένῳ κατὰ τοὺς χρόνους ἐν οἷς Ἰουλιανὸς
prefect having-been in the times in which Julian
ὁ μέγας τὴν τοῦ Καίσαρος εἶχε τιμήν, Λουκιανὸς ἦν
the great the of-the Caesar held honor Lucianus was
υἱός. οὗτος ἐχρῆτο προστάτῃ Ῥουφίνῳ, τὰ τιμιώτατα τῶν
a-son this-one used as-patron Rufinus the most-valuable of-the
ὄντων αὐτῷ κτημάτων εἰς ἐκεῖνον μετενεγκών· ἐφ᾽ οἷς
being to-himself estates to that-man having-transferred for which
ὁμολογῶν χάριτας ὁ Ῥουφῖνος τῷ νεανίσκῳ διετέλεσεν,
acknowledging thanks — Rufinus to-the youth continued
ἐπαίνους αὐτοῦ παρὰ τῷ βασιλεῖ Θεοδοσίῳ διεξιών.
praises of-him with the emperor Theodosius relating

2.2 ὃ δὲ κόμητα τῆς ἑῴας πεποίηκεν· αὕτη δὲ ἡ ἀρχὴ βούλεται
he and count of-the east has-made this and the office requires
τὸν προβεβλημένον αὐτῆς ἐφεστάναι πᾶσι τοῖς τὰς τῆς
the(-man) set-over it to-be-over all the(-ones) the of-the
ἑῴας ἐπαρχίας ἰθύνουσι καὶ ἐπὶ τοῖς οὐ κατὰ τὸ δέον
east provinces directing and for the(-things) not according-to the needful
πραττομένοις εὐθύνειν. ὁ Λουκιανὸς τοίνυν πᾶσαν ἀρχικὴν
being-done to-call-to-account — Lucianus therefore every official
ἀρετὴν εἰς τοὺς ἀρχομένους ἐπιδεικνύμενος ἐπὶ δικαιοσύνῃ
virtue toward the governed displaying for justice
καὶ σωφροσύνῃ καὶ πᾶσι τοῖς ἄρχοντας κοσμεῖν
and temperance and all the(-things) officials to-adorn
δυναμένοις διαβόητος ἦν, οὔτε προσώπων διαφορὰν οὔτε
able famous was neither of-persons difference nor
ἕτερόν τι κατὰ νοῦν ἔχων, πλὴν ὧν ὁ νόμος ὑπηγόρευεν.
other anything in mind having except what the law dictated
2.3 ὥστε ἀμέλει καὶ τὸν τοῦ βασιλέως θεῖον Εὐχέριον,
so-that doubtless even the of-the emperor uncle Eucherius
αἰτοῦντά τι παρὰ τὸ προσῆκον, ἀποσεισάμενος εἰς
asking something beyond the fitting having-rebuffed to
τοσοῦτον ἐκίνησεν ὥστε πρὸς τὸν βασιλέα διαβαλεῖν.
such he-moved(-him) that to the emperor to-slander(-him)
ἐπεὶ δὲ ὁ βασιλεὺς αἴτιον εἶπεν εἶναι Ῥουφῖνον ἀνδρὶ
since and the emperor responsible said to-be Rufinus to-a-man
τοιούτῳ τοσαύτην ἀρχὴν δεδωκότα, λαβὼν πρόφασιν
such so-great office having-given having-taken pretext
ὁ Ῥουφῖνος, καὶ ἐφ' οἷς ἐμέμψατο βασιλεὺς δῆθεν
— Rufinus and at what blamed the-emperor forsooth
ἀγανακτῶν, οὐδενὶ τὴν γνώμην ἣν εἶχεν ἐκφήνας, ἅμα
being-indignant to-no-one the judgment which he-had having-revealed with
σφόδρα ὀλίγοις ἐπὶ τὴν Ἀντιόχειαν ἴεται, νυκτός τε
very few to — Antioch hastens night and

βαθείας ἐπιδημήσας τῇ πόλει τὸν Λουκιανὸν συναρπάσας
deep having-arrived in-the city — Lucianus having-seized
εἰς εὐθύνας ἄγει, κατηγοροῦντος παντάπασιν οὐδενός.
to accounts leads accusing at-all no-one
σφαίραις δὲ μολιβδίναις αὐτὸν κατὰ τοῦ τένοντος 2.4
with-balls and leaden him on the neck
ἐνεκελεύετο παίεσθαι, καὶ διαλιπόντα παραχρῆμα φέρεσθαι
he-ordered to-be-struck and having-expired immediately to-be-carried
φορείῳ κεκαλυμμένον ἐποίει, διδοὺς ἅπασιν ὑπονοεῖν ὡς
in-a-litter covered made(-him) giving to-all to-suspect that
οὐ τεθνηκὼς εἴη, τεύξεται δὲ πάντως φιλανθρωπίας. καὶ ἡ
not dead he-was will-obtain and certainly humanity and the
μὲν πόλις ἐπὶ τῷ παραλόγῳ τοῦ δράματος ἐδυσχέραινεν·
indeed city at the strangeness of-the drama was-indignant
ὁ δὲ τιθασσεύων τὸν δῆμον βασιλικὴν ᾠκοδόμει στοάν,
he and taming the people royal built a-colonnade
ἧς οὐδὲ ἓν ἡ πόλις ἔχει διαπρεπέστερον οἰκοδόμημα.
than-which not-even one the city has more-distinguished building
Καὶ ἐπὶ τούτοις ἐπανελθὼν εἰς τὴν Κωνσταντινούπολιν 3.1
and after these-things having-returned to — Constantinople
τὰ περὶ τὴν βασιλέως κηδείαν ἐπραγματεύετο,
the(-matters) about the of-the-emperor marriage-alliance he-busied-himself-with
σπεύδων ὅσον οὐδέπω τὴν θυγατέρα τούτῳ συνάψαι.
hastening all-but now the daughter to-him to-join
τύχης δέ τινος ἕτερόν τι παρὰ τὸ προσδοκώμενον
of-fortune and some other something beyond the expected
ἐκείνῳ πρυτανευούσης, διήμαρτε τῆς ἐλπίδος ὁ Ῥουφῖνος
for-him presiding failed of-the hope — Rufinus
ἐξ αἰτίας τοιᾶσδε.
from cause such

3.2 ἦστην δύο παῖδε Προμώτῳ, Θεοδοσίου περιόντος ἔτι
there-were two sons to-Promotus Theodosius surviving still
τοῖς αὐτοῦ παισὶ συναναστρεφόμενοι· τούτων δ' ἄτερος
with-the his sons living-together of-these and one-of-two
εἶχε παρ' ἑαυτῷ παρθένον κάλλει λάμπουσαν ἐξαισίῳ.
had with himself a-maiden in-beauty shining extraordinary
ταύτην Εὐτρόπιος, εἷς τῶν περὶ τὴν βασιλικὴν θεραπείαν
this-one Eutropius one of-the about the royal service
εὐνούχων, ἀγαγέσθαι παρῄνει τῷ βασιλεῖ, τὰ περὶ
eunuchs to-marry urged the emperor the(-things) about
τοῦ κάλλους διεξιών.
the beauty relating

3.3 ἐπεὶ δὲ τοὺς λόγους ἡδέως ἑώρα δεχόμενον, ἔδειξε τῆς
since and the words gladly he-saw(-him) receiving he-showed of-the
κόρης εἰκόνα, ταύτῃ τε πρὸς μείζονα τὸν Ἀρκάδιον ἐγείρας
girl a-portrait by-this and to greater — Arcadius having-roused
ἐπιθυμίαν ἔπεισε τὸν ταύτης γάμον ἑλέσθαι, Ῥουφίνου
desire he-persuaded the of-this-one marriage to-choose Rufinus
μηδὲν ἐπισταμένου τῶν πραττομένων, οἰομένου δὲ
nothing knowing of-the(-things) being-done thinking and
ὅσον οὐδέπω τὴν αὑτοῦ θυγατέρα τῷ βασιλεῖ συνοικήσειν,
all-but now the his daughter to-the emperor to-marry
κοινωνήσειν τε αὐτῷ μετ' οὐ πολὺ τῆς τῶν ὅλων ἀρχῆς.
to-share and with-him after not much of-the of-the universe rule

3.4 ὡς δὲ τὴν ἐπὶ τῷ γάμῳ πρᾶξιν ἐθεάσατο κατωρθωμένην
as and the for the marriage business he-saw accomplished
ὁ εὐνοῦχος αὐτῷ, χορεύειν τῷ δήμῳ καὶ στεφανηφορεῖν ὡς
the eunuch for-him to-dance the people and to-wear-garlands as
ἐπὶ βασιλικοῖς ἐκέλευε γάμοις, ἐσθῆτα δὲ βασιλεῖ
for royal he-ordered marriage clothing and for-an-emperor('s-bride)
πρέπουσαν καὶ κόσμον ἐκ τῶν βασιλείων λαβών, ταύτην
fitting and adornment from the palace having-taken this

τε φέρειν δοὺς βασιλικοῖς ὑπηρέταις, ἦγε διὰ μέσης
and to-carry having-given to-royal servants led through middle
τῆς πόλεως ἡγουμένου τοῦ δήμου.
of-the city leading the people
πάντων δὲ οἰομένων τῇ Ῥουφίνου ταῦτα δοθήσεσθαι 3.5
all and thinking to-the of-Rufinus these-things to-be-given
θυγατρὶ καὶ συμπαρατρεχόντων τοῖς φορεῦσιν, ἐπειδὴ
daughter and running-along with-the bearers since
προϊόντες ἐγένοντο τῆς Προμώτου πλησίον οἰκίας, εἰσῄεσάν
going-forward they-came of-the of-Promotus near house they-went-in
τε μετὰ τῶν ἕδνων καὶ ἀποδόντες τῇ παρὰ τῷ
both with the bride-gifts and having-given(-them) to-the with the
Προμώτου παιδὶ τρεφομένῃ παρθένῳ τὴν τῷ βασιλεῖ
of-Promotus son being-raised maiden the(-one) with-the emperor
συνοικεῖν μέλλουσαν ἔδειξαν.
to-live being-about they-showed
οὕτως ὁ Ῥουφῖνος τῆς ἐλπίδος ἀποκρουσθείς, ἐπειδὴ 3.6
thus — Rufinus from-the hope having-been-repulsed since
συνοικοῦσαν ἄλλην ἑώρα, τὸ λειπόμενον ἐσκόπει, πῶς ἂν
living-with(-him) another he-saw the remaining considered how —
καὶ τὸν Εὐτρόπιον ἐκποδὼν ποιήσειε. καὶ τὰ μὲν
also — Eutropius out-of-the-way he-might-make and the(-affairs) indeed
ὑπὸ τὴν Ἀρκαδίου βασιλείαν ἐν τούτοις ἦν.
under the of-Arcadius reign in these were
Στελίχων δὲ τῆς κατὰ τὴν ἑσπέραν βασιλείας ἐπιτροπεύων 4.1
Stilicho and of-the in the west rule being-guardian
ἐκδίδωσι πρὸς γάμον Ὀνωρίῳ τῷ βασιλεῖ τὴν ἀπὸ Σερήνας
gives-away for marriage to-Honorius the emperor the from Serena
οὖσαν αὐτῷ θυγατέρα· Σερήνα δὲ ἦν παῖς Ὀνωρίου, ὃς
being to-him daughter Serena and was daughter of-Honorius who
Θεοδοσίῳ τῷ τῶν βασιλευόντων πατρὶ γέγονεν ἀδελφός.
to-Theodosius the of-the reigning(-emperors) father was brother

4.2 ὀχυρώσας δὲ τῇ πρὸς τὸν βασιλέα κηδείᾳ τὴν
having-fortified and by-the with the emperor marriage-alliance the
δύναμιν, καὶ ἄλλως ἅπαν σχεδὸν τὸ Ῥωμαίων στρατόπεδον
power also otherwise all almost the of-Romans army
ὑπήκοον εἶχε· τελευτήσαντος γὰρ μετὰ τὴν Εὐγενίου
obedient he-had having-died for after the of-Eugenius
καθαίρεσιν ἐν Ἰταλίᾳ Θεοδοσίου, στρατηγὸς ὢν τοῦ
overthrow in Italy Theodosius general being of-the
παντὸς στρατεύματος ὁ Στελίχων, εἴ τι δυνατὸν αὐτοῦ
whole army — Stilicho if anything strong of-it
καὶ πολεμικώτατον ἦν, τοῦτο κατέσχε, τὸ δὲ ἀπεσκληκὸς
and most-warlike was this he-kept the and worn-out
καὶ ἀπόβλητον χωρεῖν ἐπὶ τὴν ἑῴαν ἠφίει.
and rejected to-go to the east he-let
4.3 καὶ ταῦτα διαθείς, ἔχων τε πρὸς Ῥουφῖνον ἐγκότως
and these-things having-arranged being and toward Rufinus resentfully
οἷα δύναμιν αὐτῷ ἀντίρροπον κατὰ τὴν ἑῴαν ἔχειν
as power to-himself counterbalancing in the east to-have
βουλόμενον, ὡς Ἀρκάδιον ἰέναι διενοεῖτο, διαθεῖναι κατ᾽
wishing to Arcadius to-go he-intended to-arrange at
ἐξουσίαν καὶ τὰ κατ᾽ ἐκεῖνον ἐθέλων· ἔλεγε γὰρ
will also the(-affairs) concerning him wishing he-said for
ἐπιτετράφθαι παρὰ Θεοδοσίου τελευτᾶν μέλλοντος τὰ
to-have-been-entrusted by Theodosius to-die being-about the(-affairs)
κατ᾽ ἄμφω τοὺς βασιλέας ἔχειν ἐν πάσῃ φροντίδι.
concerning both the emperors to-hold in all care
5.1 τούτων ὁ Ῥουφῖνος αἰσθόμενος ἐκ πάσης ἐβουλεύετο
these-things — Rufinus having-perceived by every planned
μηχανῆς ἐκποδὼν γενέσθαι τῆς Στελίχωνος ἐπὶ τὴν ἑῴαν
device out-of-the-way to-become of-the of-Stilicho to the east
ὁρμῆς, καταλῦσαι δὲ οὐδὲν ἧττον καὶ ἀσθενεστέραν τὴν
impulse to-dissolve and not-at-all less and weaker the

οὖσαν Ἀρκαδίῳ στρατιωτικὴν δύναμιν καταστῆσαι. ταῦτα
being for-Arcadius military force to-make these-things
δὴ πάντα πραγματευόμενος ἄνδρας εὗρε πρὸς ταῦτα
indeed all contriving men he-found for these
πονηροτέρους ἢπερ ἐβούλετο, οἷς χρησάμενος μεγάλων
more-wicked than he-wished whom having-used of-great
ἦρξε τῇ Ῥωμαίων ἐπικρατείᾳ κακῶν. τὸ δὲ ὅπως ἐρῶ.
began for-the of-Romans dominion evils the and how I-will-tell
Μουσώνιος, Ἕλλην ἀνὴρ καὶ παιδείας ἥκων εἰς 5.2
Musonius a-Greek a-man and of-learning having-come to
ἄκρον, τριῶν ἐγένετο παίδων πατήρ, οἷς ὀνόματα ἦν
the-height of-three became sons father to-whom names were
Μουσώνιος καὶ Ἀντίοχος καὶ Ἀξίοχος. ἀλλὰ Μουσώνιος
Musonius and Antiochus and Axiochus but Musonius
μὲν καὶ Ἀξίοχος παιδείᾳ καὶ καλοκἀγαθίᾳ τὰς τοῦ
indeed and Axiochus in-learning and in-nobility the of-the
πατρὸς ἐπεθύμουν παραδραμεῖν ἀρετάς, Ἀντίοχος δὲ πᾶσιν
father desired to-outrun virtues Antiochus and in-all
ἐνηβρύνετο τοῖς ἐναντίοις, αὐτὸ πονηρίας ὄργανον ὤν.
prided-himself the opposites itself of-wickedness instrument being
τοῦτον ἁρμόδιον οἷς ἐβούλετο Ῥουφῖνος εὑρὼν 5.3
this-one suitable for-what wished Rufinus having-found
ἀνθύπατον καθίστησι τῆς Ἑλλάδος, ἕτοιμον ἐθέλων τοῖς
proconsul appoints — of-Greece ready wishing for-the
ἐπιοῦσι βαρβάροις ποιῆσαι τὴν αὐτῆς ἀπώλειαν, Γεροντίῳ
attacking barbarians to-make the its destruction to-Gerontius
τὴν ἐν Θερμοπύλαις παραδοὺς φυλακήν, ὑπηρετησομένῳ
the at Thermopylae having-handed-over guard going-to-serve
ταῖς αὐτοῦ κατὰ τῆς πολιτείας ἐννοίαις.
the his against the state designs

5.4 ταῦτα Ῥουφῖνος πονηρευσάμενος, ἐπειδὴ στασιάζοντα καὶ
these-things Rufinus having-wickedly-contrived since rebelling and
ἀλλοτριώσαντα τῶν νόμων ἑαυτὸν ἐθεώρησεν Ἀλάριχον
having-estranged from-the laws himself he-observed Alaric
(ἠγανάκτει γὰρ ὅτι μὴ στρατιωτικῶν ἡγεῖτο δυνάμεων
was-indignant for that not military he-led forces
ἀλλὰ μόνους εἶχε τοὺς βαρβάρους, οὓς Θεοδόσιος ἔτυχεν
but alone he-had the barbarians whom Theodosius happened
αὐτῷ παραδοὺς ὅτε σὺν αὐτῷ τὴν Εὐγενίου τυραννίδα
to-him having-handed-over when with him the of-Eugenius tyranny
καθεῖλε), τότε τοίνυν ἐσήμαινε δι' ἀπορρήτων αὐτῷ
he-overthrew then therefore he-signaled through secret(-messages) to-him
προσωτέρω τοὺς σὺν αὐτῷ βαρβάρους ἢ ἄλλως σύγκλυδας
farther the with him barbarians or otherwise riffraff
ὄντας ἐξαγαγεῖν, ὡς ἑτοίμων ἁπάντων εἰς ἅλωσιν ἐσομένων.
being to-lead-out as ready all for capture going-to-be
5.5 ἐπὶ τούτοις Ἀλάριχος τῶν Θρᾴκης ἀπανίστατο τόπων,
on these Alaric from-the of-Thrace departed places
καὶ ἐπὶ Μακεδονίαν προῄει καὶ Θεσσαλίαν, πάντα
and to Macedonia advanced and Thessaly all
καταστρεφόμενος τὰ ἐν μέσῳ. γενόμενος δὲ
overturning the(-things) in middle having-come and
Θερμοπυλῶν πλησίον ἔπεμπε λάθρᾳ πρὸς Ἀντίοχον
of-Thermopylae near he-sent secretly to Antiochus
τὸν ἀνθύπατον καὶ Γερόντιον τὸν ἐφεστηκότα τῇ
the proconsul and Gerontius the(-one) set-over the
Θερμοπυλῶν φυλακῇ τοὺς τὴν ἔφοδον ἀγγελοῦντας.
of-Thermopylae guard the(-ones) the attack going-to-announce
5.6 καὶ ὁ μὲν ἀπεχώρει μετὰ τῶν φυλάκων, ἐνδιδοὺς
and he indeed withdrew with the guards granting
ἐλευθέραν καὶ ἀκώλυτον τὴν ἐπὶ τὴν Ἑλλάδα πάροδον
free and unhindered the to — Greece passage

τοῖς βαρβάροις· οἳ δὲ ἐπὶ λείαν ἕτοιμον τῶν ἀγρῶν καὶ
to-the barbarians they and to booty ready of-the fields and
παντελῆ τῶν πόλεων ἀπώλειαν ἐχώρουν, τοὺς μὲν ἄνδρας
total of-the cities destruction went the indeed men
ἡβηδὸν ἀποσφάττοντες, παιδάρια δὲ καὶ γυναῖκας
from-youth-up slaughtering children and and women
ἀγεληδὸν ἅμα τῷ πλούτῳ παντὶ ληζόμενοι.
in-herds together-with the wealth all plundering
καὶ ἡ μὲν Βοιωτία πᾶσα, καὶ ὅσα μετὰ τὴν ἀπὸ 5.7
and — indeed Boeotia all and as-many-as after the from
Θερμοπυλῶν εἴσοδον Ἑλληνικὰ ἔθνη διῆλθον οἱ βάρβαροι,
Thermopylae entry Greek peoples went-through the barbarians
ἔκειντο τὴν ἐξ ἐκείνου μέχρι τοῦ νῦν καταστροφὴν διδόντα
lay the from that-time up-to the now ruin giving
τοῖς θεωμένοις ὁρᾶν, μόνων Θηβαίων διὰ τὸ τῆς
to-the(-ones) looking-on to-see alone Thebans because-of the of-the
πόλεως ὀχυρὸν περισωθέντων, καὶ ὅτι σπεύδων τὰς
city strength having-been-saved and because hastening —
Ἀθήνας ἑλεῖν Ἀλλάριχος οὐκ ἐπέμεινε τῇ τούτων πολιορκίᾳ.
Athens to-take Alaric not stayed at-the of-these siege
Θηβαίων τοίνυν διὰ τοῦτο ἐκπεφευγότων ἐπὶ τὰς 5.8
Thebans therefore because-of this having-escaped to —
Ἀθήνας ἐχώρει, ῥᾷστα τὴν πόλιν οἰόμενος ἑλεῖν διὰ τὸ
Athens he-went most-easily the city thinking to-take because-of the
μέγεθος παρὰ τῶν ἔνδον φυλαχθῆναι οὐ δυναμένην, καὶ
size by the(-ones) inside to-be-guarded not able and
προσέτι τοῦ Πειραιῶς ἐχομένου σπάνει τῶν ἐπιτηδείων
besides — Piraeus being-held by-scarcity of-the provisions
μετ' οὐ πολὺ τοὺς πολιορκουμένους ἐνδώσειν. ἀλλ' ὁ μὲν
after not much the besieged to-yield but — indeed
Ἀλλάριχος ἐν ταύταις ἦν ταῖς ἐλπίσιν, ἔμελλε δὲ ἡ τῆς
Alaric in these was the hopes was-about and the of-the

πόλεως ἀρχαιότης καὶ ἐν οὕτω δυσσεβέσι καιροῖς θείαν τινὰ
city antiquity even in so impious times divine some
πρόνοιαν ὑπὲρ ἑαυτῆς ἐπισπᾶσθαι καὶ μένειν ἀπόρθητος.
providence on-behalf-of itself to-draw-to and to-remain unsacked
6.1 ἄξιον δὲ μηδὲ τὴν αἰτίαν δι' ἣν ἡ πόλις
worthy and not-even the cause because-of which the city
περιεσώθη, θεοπρεπῆ τινὰ οὖσαν καὶ εἰς εὐσέβειαν τοὺς
was-saved god-befitting some being and to piety the(-ones)
ἀκούοντας ἐπικαλουμένην, σιωπῇ διελθεῖν. ἐπιὼν Ἀλλάριχος
hearing summoning in-silence to-pass-over attacking Alaric
πανστρατιᾷ τῇ πόλει τὸ μὲν τεῖχος ἑώρα περινοστοῦσαν
with-the-whole-army the city the indeed wall saw going-around
τὴν πρόμαχον Ἀθηνᾶν, ὡς ἔστιν αὐτὴν ὁρᾶν ἐν τοῖς
the champion Athena as it-is-possible her to-see in the
ἀγάλμασιν, ὡπλισμένην καὶ οἷον τοῖς ἐπιοῦσιν ἀνθίστασθαι
statues armed and as-it-were the attackers to-resist
μέλλουσαν, τοῖς δὲ τείχεσι προεστῶτα τὸν Ἀχιλλέα τὸν
being-about the and walls standing-before — Achilles the
ἥρω τοιοῦτον οἷον αὐτὸν τοῖς Τρωσὶν ἔδειξεν Ὅμηρος, ὅτε
hero such as him to-the Trojans showed Homer when
κατ' ὀργὴν τῷ θανάτῳ τοῦ Πατρόκλου τιμωρῶν ἐπολέμει.
in anger for-the death — of-Patroclus avenging he-fought
6.2 ταύτην Ἀλλάριχος τὴν ὄψιν οὐκ ἐνεγκὼν πάσης μὲν
this Alaric the sight not having-borne from-all indeed
ἀπέστη κατὰ τῆς πόλεως ἐγχειρήσεως, ἐπεκηρυκεύετο δέ.
withdrew against the city attempt made-overtures and
*** προσδεξαμένων τοὺς λόγους, ὅρκους τε λαβόντων
(lacuna) having-accepted the proposals oaths both having-taken
καὶ δόντων, εἰσῄει σὺν ὀλίγοις Ἀλλάριχος εἰς τὰς Ἀθήνας.
and having-given went-in with few Alaric into — Athens
τυχὼν δὲ φιλοφροσύνης ἁπάσης, λουσάμενός τε καὶ
having-obtained and kindness all having-bathed both and

κοινωνήσας ἑστιάσεως τοῖς ἐν τῇ πόλει λογάσι, καὶ
having-shared feasting with-the in the city notables and
προσέτι γε δῶρα λαβών, ἀπεχώρει τήν τε πόλιν
besides at-least gifts having-taken went-away the both city
ἀβλαβῆ καὶ τὴν Ἀττικὴν πᾶσαν καταλιπών.
unharmed and — Attica all having-left
καὶ ἡ μὲν Ἀθηναίων πόλις ἐν τῷ κατὰ τὴν Οὐάλεντος 6.3
and the indeed of-Athenians city in the under the of-Valens
βασιλείαν γενομένῳ σεισμῷ, πᾶσαν κατασείσαντι τὴν
reign having-happened earthquake all having-shaken —
Ἑλλάδα, μόνη περιεσώθη κατὰ τὸν εἰρημένον μοι τρόπον
Greece alone was-saved in the mentioned by-me way
ἐν τῷ προλαβόντι βιβλίῳ, καὶ νῦν εἰς ἔσχατον ἐλθοῦσα
in the preceding book and now into utmost having-come
κινδύνου διέφυγεν· Ἀλλάριχος δὲ τὴν Ἀττικὴν πᾶσαν
danger escaped Alaric and — Attica all
ἀπόρθητον ἀπολιπὼν δέει τῶν φανέντων φασμάτων ἐπὶ
unsacked having-left by-fear of-the having-appeared apparitions to
τὴν Μεγαρίδα παρῄει, καὶ ταύτην ἑλὼν ἐξ ἐπιδρομῆς
the Megarid came and this having-taken by an-inroad
τῆς ἐπὶ τὴν Πελοπόννησον ἐλάσεως εἴχετο, μηδεμιᾶς
the to the Peloponnese march held-to no
πειρώμενος ἀντιστάσεως.
meeting resistance
ἐνδόντος δὲ αὐτῷ Γεροντίου τὸν Ἰσθμὸν διαβῆναι, πάντα 6.4
having-allowed and him Gerontius the Isthmus to-cross all
λοιπὸν ἦν αὐτῷ δίχα πόνου καὶ μάχης ἁλώσιμα, τῶν
thenceforth were for-him without toil and battle capturable the
πόλεων σχεδὸν ἁπασῶν διὰ τὴν ἀσφάλειαν ἣν ὁ
cities almost all because-of the security which the
Ἰσθμὸς παρεῖχεν αὐταῖς ἀτειχίστων οὐσῶν. εὐθέως οὖν ἡ
Isthmus provided to-them unwalled being at-once then —

Κόρινθος πρώτη κατὰ κράτος ἡλίσκετο καὶ τὰ πρόσοικα
Corinth first by force was-taken and the neighboring
ταύτῃ πολίχνια καὶ ἐπὶ ταύτῃ τὸ Ἄργος καὶ ὅσα ἦν
to-it small-towns and after this — Argos and as-many-as were
αὐτῆς τε καὶ Λακεδαίμονος ἐν μέσῳ χωρία.
of-it both and of-Lacedaemon in middle places
6.5 καὶ αὐτὴ δὲ ἡ Σπάρτη συναπήγετο τῇ κοινῇ τῆς
and itself too — Sparta was-carried-off-with to-the common —
Ἑλλάδος ἁλώσει, μήτε ὅπλοις ἔτι μήτε ἀνδράσι
of-Greece capture neither with-arms any-longer nor with-men
μαχίμοις τετειχισμένη διὰ τὴν τῶν Ῥωμαίων πλεονεξίαν,
warlike walled because-of the of-the Romans greed
ἀλλ᾽ ἄρχουσιν ἐκδεδομένη προδόταις καὶ τῇ τῶν
but to-rulers handed-over traitors and to-the of-the(-ones)
κρατούντων ἡδονῇ προθύμως ὑπηρετουμένοις εἰς ἅπαντα
ruling pleasure eagerly serving in all
τὰ πρὸς κοινὸν ὄλεθρον φέροντα.
the(-things) to common ruin leading
7.1 Ῥουφῖνος μὲν οὖν, ἀγγελθέντος αὐτῷ τοῦ περὶ τὴν
Rufinus indeed then having-been-announced to-him the about —
Ἑλλάδα πάθους, ἐπίδοσιν ἐλάμβανεν ἧς εἶχε περὶ
Greece disaster increase took of-what he-had for
τὴν βασιλείαν ἐπιθυμίας· συνταραττομένου γὰρ τοῦ
the rule desire being-thrown-into-confusion for the
πολιτεύματος οὐδὲν ἐμποδὼν ᾤετο αὑτῷ φανήσεσθαι
state nothing in-the-way he-thought for-himself to-appear
πρὸς τὴν τοιαύτην ἐπιχείρησιν· Στελίχων δὲ ναυσὶ
for the such attempt Stilicho and on-ships
στρατιώτας ἐμβιβάσας τοῖς κατὰ τὴν Ἀχαΐαν δυστυχήμασιν
soldiers having-embarked to-the in — Achaea misfortunes

ὥρμητο βοηθεῖν, καὶ τῇ Πελοποννήσῳ προσσχὼν εἰς
hastened to-help and to-the Peloponnese having-put-in into
Φολόην συμφυγεῖν τοὺς βαρβάρους ἠνάγκασε.
Pholoe to-flee-together the barbarians compelled
καὶ ῥᾷστα διέφθειρεν ἂν αὐτοὺς σπάνει τῶν ἐπιτηδείων, 7.2
and most-easily would-have-destroyed — them by-scarcity of-the provisions
εἰ μὴ τρυφῇ καὶ μίμοις γελοίων ἥκιστά τε αἰσχυνομέναις
if not to-luxury and to-mimes of-jests least and being-ashamed
γυναιξὶν ἐκδοὺς ἑαυτὸν ἀφῆκε τοὺς στρατιώτας, ὅσα
to-women having-given-up himself he-let the soldiers what
καταλελοίπασιν οἱ βάρβαροι, ἁρπάζειν, τοῦ τε δοῦναι τοῖς
had-left the barbarians to-plunder of-the both to-give to-the
πολεμίοις εὐρυχωρίαν ἀναχωρήσασι τῆς Πελοποννήσου
enemies room having-withdrawn from-the Peloponnese
μετὰ πάσης τῆς λείας εἰς τὴν Ἤπειρον διαβῆναι καὶ τὰς
with all the booty into — Epirus to-cross and the
ἐν ταύτῃ λῃσασθαι πόλεις.
in it to-plunder cities
ὅπερ αὐτοὺς ὁ Στελίχων πεποιηκότας ἰδὼν ἄπρακτος 7.3
which them — Stilicho having-done having-seen unsuccessful
ἐπὶ τὴν Ἰταλίαν ἀπέπλευσε, μείζονα καὶ χαλεπώτερα
to — Italy sailed-away greater and harsher
τοῖς Ἕλλησι κακὰ δι' ὧν ἐπήγετο στρατιωτῶν ἐπιθείς.
on-the Greeks evils through the soldiers he-brought having-laid
ἐπεὶ δὲ παρεγένετο, παραχρῆμα θάνατον ἔγνω Ῥουφίνῳ
since and he-arrived immediately death he-resolved for-Rufinus
κατασκευάσαι τρόπῳ τοιῷδε. πρὸς τὸν βασιλέα ποιεῖται
to-contrive in-way such to the emperor makes
λόγους Ὀνώριον ὡς προσήκει τέλη τινὰ στρατιωτικὰ
words Honorius that it-is-fitting units some military

στεῖλαι πρὸς Ἀρκάδιον τὸν ἀδελφόν, ἐπαμυνοῦντα τοῖς
to-send to Arcadius the brother going-to-help the
ἐν τῇ ἐπικρατείᾳ τῇ τούτου κεκακωμένοις ἔθνεσι.
in the dominion the of-this-one afflicted peoples
7.4 καὶ ὅπερ ἐγνώκει πράττειν ἐπιτραπεὶς ἔταττε τοὺς
and what he-had-resolved to-do having-been-permitted he-arranged the(-ones)
ἐπὶ τούτῳ σταλησομένους, Γαΐνην δὲ αὐτοῖς ἐπιστήσας
for this going-to-be-sent Gainas and over-them having-set
ἡγεμόνα, ὅσα ἐπὶ Ῥουφίνου διενοεῖτο ἐξεῖπε. τῶν
leader as-much-as against Rufinus he-intended he-spoke-out the
δὲ στρατιωτῶν ἤδη πλησίον τῆς Κωνσταντινουπόλεως
and soldiers already near — of-Constantinople
ὄντων, φθάσας ὁ Γαΐνης ἀπήγγειλεν Ἀρκαδίῳ τῷ
being having-anticipated — Gainas reported to-Arcadius the
βασιλεῖ τὴν αὐτῶν παρουσίαν, καὶ ὡς παραγένοιντο τοῖς
emperor the their presence and that they-had-come to-the
πράγμασι πεπονηκόσιν ἐφιέμενοι βοηθεῖν.
affairs having-suffered wishing to-help
7.5 τοῦ δὲ βασιλέως ἡσθέντος ἐπὶ τῇ τούτων ἀφίξει,
the and emperor having-been-pleased at the of-these arrival
ὑπαντῆσαι τοῖς στρατιώταις εἰσιέναι μέλλουσι παρεκάλει
to-meet the soldiers to-enter being-about urged
τὸν βασιλέα Γαΐνης· ταύτης γὰρ τῆς τιμῆς ἠξιῶσθαι
the emperor Gainas of-this for the honor to-be-deemed-worthy
τοὺς στρατιώτας ἔλεγε σύνηθες εἶναι. πεισθέντος δὲ τοῦ
the soldiers he-said customary to-be having-been-persuaded and the
βασιλέως καὶ πρὸ τῆς πόλεως ὑπαντήσαντος, εἵπετο καὶ ὁ
emperor and before the city having-met followed also —
Ῥουφῖνος, οἷα τῆς αὐλῆς ὕπαρχος. ἐπεὶ δὲ προσκυνήσαντες
Rufinus as of-the court prefect since and having-done-obeisance
τῆς προσηκούσης ἠξιώθησαν παρὰ τοῦ βασιλέως
of-the fitting they-had-been-deemed-worthy from the emperor

φιλοφροσύνης, δόντος Γαΐνου τὸ σύνθημα πάντες ὁμοῦ
kindness having-given Gainas the signal all together
τὸν Ῥουφῖνον ἀπολαβόντες ἐν μέσῳ τοῖς ξίφεσι παίουσι·
— Rufinus having-cut-off in middle with-the swords strike
καὶ ὃ μὲν ἀφῄρητο τῆς δεξιᾶς, ὃ δὲ τὴν ἑτέραν 7.6
and one indeed took-off the right-hand another and the other
ἔκοπτεν, ὃ δὲ τὴν κεφαλὴν τοῦ τραχήλου χωρίσας
cut-off another and the head from-the neck having-separated
ἀπῄει, παιᾶνας ᾀδων ἐπινικίους. ἐς τοσοῦτον δὲ ἐπετώθασαν
went-away paeans singing triumphal to so-much and they-jeered
ὥστε τὴν χεῖρα πανταχῇ τῆς πόλεως περιάγειν, αἰτεῖν τε
that the hand everywhere of-the city to-carry-around to-ask and
ἀργύριον δοῦναι τῷ ἀπλήστῳ τοὺς προστυγχάνοντας.
silver to-give to-the insatiable the(-ones) meeting(-them)
Ῥουφῖνος μὲν οὖν ἰδίᾳ τε πολλοῖς κακῶν ἀφορήτων 8.1
Rufinus indeed then privately both to-many of-evils unbearable
γενόμενος αἴτιος καὶ τῇ πολιτείᾳ λυμηνάμενος ἁπάσῃ δίκην
having-become cause and the state having-harmed all penalty
ἐξέτισε τῶν πεπονηρευμένων ἀξίαν, Εὐτρόπιος δὲ
paid of-the(-things) wickedly-done worthy Eutropius and
πρὸς πάντα Στελίχωνι συνεργήσας τὰ κατὰ τούτου
for all with-Stilicho having-cooperated the(-things) against this-man
βεβουλευμένα τῶν ἐν τῇ αὐλῇ πραττομένων κύριος ἦν.
planned of-the(-things) in the court being-done master was
καὶ τὴν μὲν Ῥουφίνου περιουσίαν κατὰ τὸ πλέον 8.2
and the indeed of-Rufinus property for the more
ἐσφετερίζετο, καὶ ἑτέρους ἐνδιδοὺς ἐκ ταύτης οἰκειοῦσθαι
he-appropriated and others allowing from this to-take-for-themselves
τὰ ὁπωσοῦν ἄξια τῆς αὐτοῦ κτήσεως νομιζόμενα· τῆς
the(-things) in-any-way worthy of-the his possession thought the
δὲ Ῥουφίνου γαμετῆς σὺν τῇ θυγατρὶ τῇ τῶν Χριστιανῶν
and of-Rufinus wife with the daughter to-the of-the Christians

ἐκκλησίᾳ προσδραμούσης δέει τοῦ μὴ συναπολέσθαι τῷ
church having-run-for-refuge by-fear of-the not to-perish-with the
ἀνδρί, πίστιν δοὺς ὁ Εὐτρόπιος ἐφῆκεν αὐταῖς εἰς τὴν
husband pledge having-given — Eutropius allowed them into the
κατὰ Ἱεροσόλυμα πόλιν ἐκπλεῦσαι, πάλαι μὲν οἰκητήριον
at Jerusalem city to-sail-off long-ago indeed dwelling-place
Ἰουδαίων οὖσαν, ἀπὸ δὲ τῆς Κωνσταντίνου βασιλείας
of-Jews being from and the of-Constantine reign
ὑπὸ Χριστιανῶν τιμωμένην οἰκοδομήμασιν.
by Christians honored with-buildings

8.3 ἐκεῖναι μὲν οὖν αὐτόθι τὸν λειπόμενον τοῦ βίου διέτριψαν
those indeed then there the remaining of-the life spent
χρόνον· Εὐτρόπιος δὲ πάντας, ὧν εἴη τις λόγος,
time Eutropius and all of-whom there-might-be any account
ἐκποδὼν καταστῆσαι βουλόμενος, ὡς ἂν μηδεὶς ἕτερος
out-of-the-way to-put wishing so-that — no-one other
πλὴν αὐτοῦ βασιλεῖ παραδυναστεύοι, καὶ ἐπὶ Τιμασίῳ
except himself with-the-emperor should-have-influence also against Timasius
στρατιωτικῶν ἡγησαμένῳ ταγμάτων ἀπὸ τῶν Οὐάλεντος
of-military having-led units from the of-Valens
χρόνων καὶ πολλῶν μετασχόντι πολέμων ἐπιβουλὴν ἵστησιν,
times and many having-shared-in wars a-plot sets-up
οὐδεμιᾶς αἰτίας ὑπούσης. ἦν δὲ ἡ συκοφαντία τοιάδε.
no cause being-at-hand was and the false-accusation such

Eutropius rules Arcadius. He ruins Timasius through the sausage-seller Bargus, Timasius' protégé; Timasius is exiled to the desert Oasis and vanishes, and Bargus in turn is destroyed through his mistress. Abundantius is banished to Sidon, and Stilicho is declared a public enemy. Gildo turns Libya over to the east; Stilicho sends Gildo's brother Mascezel, who defeats him, and later has Mascezel drowned. Gainas, resenting Eutropius, incites Tribigild, who leads the barbarians settled in Phrygia to ravage Asia. In Pamphylia Valentinus and the men of Selge destroy most of his army; he buys his way out with three hundred, is hemmed in between the Melas and the Eurymedon, and escapes when Gainas' barbarians destroy Leo's army. Gainas demands that Eutropius be handed over.

Βάργος ἐκ τῆς ἐν Συρίᾳ Λαοδικείας ὁρμώμενος, ἀλλᾶντας 9.1
Bargus from the in Syria Laodicea coming sausages
ὠνίους ἐπ' ἀγορᾷ προτιθείς, ἐπί τισιν ἁλοὺς ἀτοπήμασιν
for-sale in the-marketplace setting-out on some convicted outrages
ἀπὸ τῆς Λαοδικείας εἰς τὰς Σάρδεις ἦλθε φυγάς, εἶτα κἀκεῖσε
from — Laodicea to — Sardis came exile then also-there
φανεὶς οἷος ἦν, ἐπὶ πονηρίᾳ διεβεβόητο. τοῦτον ὁ
having-appeared such-as he-was for wickedness he-was-notorious this-man —
Τιμάσιος ταῖς Σάρδεσιν ἐπιδημήσας, στωμύλον ἰδὼν δεινόν
Timasius — in-Sardis having-visited glib having-seen clever
τε κολακείᾳ ῥᾳδίως ὑπαγαγέσθαι τοὺς προστυγχάνοντας,
and by-flattery easily to-win-over the(-ones) meeting(-him)
ὠκειώσατό τε καὶ παραχρῆμα στρατιωτικοῦ τέλους ἔταξεν
befriended both and immediately of-a-military unit appointed
ἄρχειν· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ἤδη καὶ εἰς τὴν
to-command and not this only but already also to —
Κωνσταντινούπολιν ἑαυτῷ συναπήγαγεν.
Constantinople with-himself brought-along

9.2 οὐκ ἐπαινούντων δὲ τῶν ἐν τέλει τὸ γεγονὸς (ἔτυχε
not praising and the(-ones) in office the(-thing) having-happened happened
γὰρ πρότερον ὁ Βάργος διά τινα πονηρεύματα τῆς
for before — Bargus because-of some wicked-acts from-the
ἐν Κωνσταντινουπόλει διατριβῆς ἀποκεκλεισμένος) ὄργανον
in Constantinople residence having-been-excluded instrument
ἐπιτήδειον Εὐτρόπιος εἰς τὴν κατὰ Τιμασίου συκοφαντίαν
suitable Eutropius for the against Timasius false-accusation
τὸν ἄνδρα τοῦτον εὑρὼν ἵστησι κατήγορον αὐτῷ,
the man this having-found sets-up as-accuser against-him
γραμμάτια δεικνύντα ψευδῆ, βασιλείας ἐπιθυμίαν ἐπιφέροντα
letters showing false of-rule desire imputing
Τιμασίῳ. καὶ ὁ μὲν βασιλεὺς προυκάθητο δικαστής,
to-Timasius and the indeed emperor presided judge
Εὐτρόπιος δὲ παρεστώς, ἐπειδὴ καὶ τὴν ἡγεμονίαν πάντων
Eutropius and standing-beside since also the headship of-all
τῶν βασιλικῶν εἶχε κοιτώνων, τῆς πάσης ψήφου κύριος ἦν.
the royal had bedchambers of-the whole vote master was
9.3 πάντων δὲ δυσανασχετούντων ἐφ' οἷς ἀλλαντοπώλης
all and being-indignant at which a-sausage-seller
ἄνθρωπος τὸν ἐν ἀρχαῖς καὶ ἀξίαις διαπρέψαντα
man the(-one) in offices and dignities having-excelled
τοσαύταις ἵστατο κρίνων, ἀνεχώρει μὲν τῆς κρίσεως ὁ
so-many was-set judging withdrew indeed from-the trial the
βασιλεύς, ἐπέτρεπε δὲ ταύτην Σατουρνίνῳ καὶ Προκοπίῳ.
emperor entrusted and it to-Saturninus and Procopius
τούτοιν δὲ ὁ μὲν εἷς εἰς γῆρας ἦν βαθὺ προελθών
of-these-two and the indeed one into old-age was deep having-advanced
καὶ μεγάλαις τετιμημένος ἀξίαις, οὐκ ἔξω δὲ κολακείας,
and with-great having-been-honored dignities not outside and flattery
ἀλλ' εἰωθὼς ἐν ταῖς κρίσεσι τὰς τῶν βασιλεῖ
but accustomed in the trials the of-the(-ones) with-the-emperor

παραδυναστευόντων θεραπεύειν ὁρμάς τε καὶ γνώμας·
having-influence to-court impulses both and judgments
ὁ δὲ Προκόπιος τοῦ μὲν βασιλέως ἐγεγόνει Οὐάλεντος
— and Procopius of-the indeed emperor had-become Valens
κηδεστής, σκαιὸς δέ τις ὢν καὶ ἀνάγωγος ἔν
kinsman-by-marriage rough and somewhat being and ill-bred in
τισιν ἐδόκει τἀληθῆ μετὰ παρρησίας ἐκφαίνειν.
some-things he-seemed the-true-things with frankness to-declare
ὥστε ἀμέλει καὶ τότε συνενεχθεὶς εἰς τὴν κατὰ Τιμασίου 9.4
so-that doubtless also then having-joined to the against Timasius
ψῆφον τῷ Σατουρνίνῳ τοῦτο προσέθηκεν, ὡς οὐκ ἔδει
vote — with-Saturninus this added that not it-was-needful
Τιμασίου Βάργον εἶναι κατήγορον, οὐδὲ τὸν τοσαύταις
of-Timasius Bargus to-be accuser nor the(-one) in-so-many
ἀρχαῖς διαπρέψαντα καὶ ἀξίαις εὐτελοῦς ἀνθρώπου
offices having-excelled and dignities of-a-cheap man
καὶ ἀνασεσυρμένου συκοφαντίαις ἁλῶναι, καὶ ὅπερ
and shameless by-false-accusations to-be-convicted and what
ἦν ἀτοπώτατον, εὐεργέτην ὑπὸ τοῦ παθόντος εὖ
was most-absurd a-benefactor by the(-one) having-been-treated well
πράγματα πάσχειν.
troubles to-suffer
ὤνησε δὲ οὐδὲν ταύτῃ χρησάμενος τῇ παρρησίᾳ 9.5
profited and nothing this having-used the frankness
Προκόπιος, ἀλλ' ἡ μὲν Σατουρνίνου ψῆφος ἐκράτει
Procopius but the indeed of-Saturninus vote prevailed
σφόδρα ἐπαινεθεῖσα, Τιμάσιος δὲ τῇ Ὀάσεως οἰκήσει
greatly praised Timasius and to-the of-Oasis dwelling
παραδοθεὶς ἀπηλαύνετο, φυλακῆς αὐτὸν δημοσίας
handed-over was-driven-away guard him public

παραπεμπούσης. τόπος δὲ ἦν οὗτος λυπρότατος καὶ
escorting place and was this most-wretched and
οὐδενὶ τῶν αὐτῷ παραδιδομένων ἀναχωρεῖν ἐνδιδούς·
to-none of-the(-ones) to-it handed-over to-withdraw allowing
9.6 ἥ τε γὰρ ἐν μέσῳ γῇ ψαμμώδης οὖσα καὶ παντάπασιν
the both for in middle land sandy being and altogether
ἔρημος καὶ ἀοίκητος ἀφαιρεῖται τῆς γνώσεως τοὺς
desert and uninhabited takes-away from-the knowledge the(-ones)
ἐπὶ τὴν Ὄασιν ἀπιόντας, τῶν ἀνέμων τοῖς ἴχνεσι τὴν
to the Oasis going the winds on-the tracks the
ψάμμον ἐπιφερόντων, καὶ τῷ μήτε φυτὸν μήτε οἴκησιν
sand bringing and by-the neither plant nor dwelling
εἶναι, γνώρισμα εἰς εἰκασίαν τι καταλιπεῖν τοῖς
to-be as-a-mark for conjecture anything to-leave to-the(-ones)
ὁδοιποροῦσι δυνάμενα.
journeying able
9.7 φήμη δὲ ὅμως εἰς ἅπαντας ἦει παρὰ Συαγρίου τοῦ
a-report and nevertheless to all went by Syagrius the
παιδὸς ἡρπάσθαι Τιμάσιον λέγουσα, διαφυγόντος
son to-have-been-snatched-away Timasius saying having-escaped
τοὺς ἐσταλμένους εἰς ἀναζήτησιν αὐτοῦ καὶ διά τινων
the(-ones) sent for search of-him and through some
ἁρπάσαντος τὸν πατέρα ληστῶν. ἀλλ᾽ εἴτε ἀληθῆ ταῦτα
having-snatched the father brigands but whether true these-things
ἦν εἴτε Εὐτροπίῳ χαριζόμενοι ταῦτα ἐν τῷ πλήθει
were or to-Eutropius doing-favors these-things in the multitude
διέσπειραν, οὐκ ἔγνω τις τὸ σαφές, πλὴν ὅτι περ οὔτε
they-spread not knew anyone the certain except that indeed neither
Τιμάσιος οὔτε Συάγριος ἐξ ἐκείνου πεφήνασιν.
Timasius nor Syagrius from that-time have-appeared

Ὁ δὲ Βάργος, ὡς ἔξω πάσης ὑποψίας καταστήσας 10.1
— *and Bargus as outside all suspicion having-put*
Εὐτρόπιον οὐκέτι τὴν Τιμασίου δυσμένειαν ὑφορώμενον,
Eutropius no-longer the of-Timasius hostility suspecting
ἠξιοῦτο στρατιωτικοῦ τέλους ἀρχῆς χρήματα φέρειν
was-deemed-worthy of-military unit of-command money to-bring
αὐτῷ κομψὰ δυναμένης, καὶ ἀνεχώρει μειζόνων ἐλπίσι
to-him pretty able and went-away of-greater by-hopes
δωρεῶν βουκολούμενος· ἠγνόει γὰρ ὡς Εὐτρόπιος
gifts beguiled was-ignorant for that Eutropius
τοιοῦτον αὐτὸν φανέντα περὶ Τιμάσιον τὸν εὐεργέτην
such him having-appeared toward Timasius the benefactor
καὶ περὶ αὐτὸν ὅμοιον φανήσεσθαι προσεδόκησεν.
also toward himself like to-appear expected
ἐκδημήσαντος γοῦν τῆς ἀρχῆς ἕνεκα Βάργου, τὴν 10.2
having-gone-abroad at-any-rate of-the command for-the-sake-of Bargus the
τούτῳ συνοικοῦσαν γυναῖκα διά τινας αἰτίας ἀπεχθῶς
with-him living woman because-of some causes hostilely
πρὸς αὐτὸν ἔχουσαν πείθουσι γραμματεῖα προσδοῦναι τῷ
toward him being they-persuade writings to-hand-in to-the
βασιλεῖ κατηγορίας φέροντα πλείστας εἰς τὰ μέγιστά τε
emperor accusations bearing very-many into the greatest and
τῶν ἐγκλημάτων τὸν Βάργον ἀγούσας.
of-the charges — Bargus bringing
ἅπερ ἀκηκοὼς Εὐτρόπιος εὐθὺς ἦγεν εἰς κρίσιν τὸν 10.3
which having-heard Eutropius at-once led to trial the
ἄνθρωπον καὶ ἁλόντα παρεδίδου τιμωρίᾳ πρεπούσῃ, μεθ᾽
man and convicted handed-over to-punishment fitting after
ἣν ἅπαντες θαυμάζοντες ἅμα καὶ ἀνυμνοῦντες τὸν τῆς
which all wondering at-once and hymning the —

Ἀδραστείας ὀφθαλμὸν διετέλεσαν, ὃν οὐχ οἷόν τέ τινα
of-Adrasteia eye continued which not possible — anyone
τῶν ἠσεβηκότων κατά τι λαθεῖν.
of-the(-ones) having-been-impious in anything to-escape-notice

10.4 Μεθύων δὲ ἤδη τῷ πλούτῳ καὶ ὑπὲρ τὰ νέφη τῇ
being-drunk and already with-the wealth and above the clouds in-the
φαντασίᾳ φέρεσθαι δοκῶν ὁ Εὐτρόπιος ἐν ἅπασι σχεδὸν τοῖς
imagination to-be-borne seeming — Eutropius in all almost the
ἔθνεσιν εἶχε τοὺς τὰ πραττόμενα πολυπραγμονοῦντας,
provinces had the(-ones) the(-things) being-done prying-into
καὶ ὅπως ἕκαστος ἔχοι τύχης· καὶ οὐδὲν ἦν καθάπαξ
and how each stood of-fortune and nothing there-was at-all
ὃ μὴ χρημάτων αὐτῷ κέρδος ἐπῆγεν. ἄγει τοίνυν αὐτὸν
which not of-money to-him gain brought leads therefore him
καὶ κατὰ Ἀβουνδαντίου φθόνος τε ὁμοῦ καὶ πλεονεξία.
also against Abundantius envy both together and greed

10.5 ἦν δὲ Ἀβουνδάντιος ἀπὸ τῆς ἐν τῇ Θράκῃ Σκυθίας,
was and Abundantius from the in — Thrace Scythia
ἐκ δὲ τῶν Γρατιανοῦ στρατευσάμενος χρόνων καὶ
from and the of-Gratian having-served times and
ἐπὶ Θεοδοσίου τιμῶν μεγίστων ἐπιβάς, ἤδη δὲ καὶ
under Theodosius honors greatest having-mounted already and both
στρατηγὸς καὶ ὕπατος ἀποδεδειγμένος. ἐπεὶ δὲ καὶ
general and consul appointed when and also
τοῦτον Εὐτρόπιος ἠβουλήθη τῆς οὐσίας τε ὁμοῦ καὶ
this-man Eutropius wished from-the property both together and
πάσης τιμῆς ἐκπεσεῖν, ἔγραφε μὲν ταῦτα ὁ βασιλεύς,
all honor to-fall wrote indeed these-things the emperor
ἀπηλαύνετο δὲ Ἀβουνδάντιος τῶν βασιλείων, οἴκησιν
was-driven and Abundantius from-the palace a-dwelling

τὴν ἐν Φοινίκῃ Σιδῶνα λαχὼν καὶ ἐν ταύτῃ τὸν
the in Phoenicia Sidon having-been-allotted and in it the
λοιπὸν χρόνον βεβιωκώς.
remaining time having-lived

Εὐτρόπιος τοίνυν ἐν μὲν τῇ Κωνσταντινουπόλει 11.1
Eutropius therefore in indeed — Constantinople
παντάπασιν ἔχων οὐδένα τὸν ἀντιβλέπειν τολμῶντα,
at-all having no-one the(-one) to-look-in-the-face daring
μόνον δὲ Στελίχωνα τῶν κατὰ τὴν ἑσπέραν κυριεύοντα
alone and Stilicho of-the in the west being-master
πραγμάτων κατὰ νοῦν ἔχων, ἀνελεῖν αὐτῷ διενοεῖτο τὴν
affairs in mind having to-remove for-him intended the
ἐπὶ Κωνσταντινούπολιν ἄφιξιν. ἀναπείθει δὴ τὸν βασιλέα,
to Constantinople coming persuades indeed the emperor
τέως συναγαγόντα τὴν γερουσίαν, κοινῷ δόγματι τῆς
for-a-while having-convened the senate by-common decree of-the
βασιλείας αὐτὸν πολέμιον προσειπεῖν.
empire him enemy to-proclaim

οὗ δὴ γενομένου Γίλδωνα παραχρῆμα πάσης τῆς ὑπὸ 11.2
which indeed having-happened Gildo immediately of-all the under
Καρχηδόνα Λιβύης ἔχοντα τὴν ἡγεμονίαν οἰκειωσάμενος,
Carthage Libya holding the command having-won-over
ἀφίστησι διὰ τούτου τὴν χώραν τῆς Ὀνωρίου βασιλείας
detaches through this-man the land from-the of-Honorius rule
καὶ τῇ Ἀρκαδίου προστίθησιν. ἐπὶ τούτῳ δυσχεραίνοντι
and to-the of-Arcadius adds at this being-vexed
καὶ λίαν ἀπορουμένῳ Στελίχωνι συνήρατο τὸ ἀπὸ τῆς
and very being-at-a-loss for-Stilicho helped the from the
τύχης αὐτόματον.
fortune spontaneous

11.3 ἀδελφὸν γὰρ ἔχων ὁ Γίλδων ᾧ Μασκέλδηλος
a-brother for having — Gildo to-whom Mascezel
ἦν ὄνομα, καὶ τούτῳ διὰ βαρβαρικὴν μανίαν
was name and against-this-one because-of barbarian madness
ἐπιβουλεύσας ἠνάγκασεν εἰς τὴν Ἰταλίαν ὡς Στελίχωνα
having-plotted compelled to — Italy to Stilicho
πλεῦσαι καὶ ὅσα παρὰ τἀδελφοῦ πέπονθεν ἐξειπεῖν. ὃ
to-sail and as-much-as from the-brother he-had-suffered to-tell he
δὲ δυνάμεις ἁδρὰς αὐτῷ παραδοὺς καὶ πλοῖα χορηγήσας
and forces ample to-him having-handed-over and ships having-supplied
ἀρκοῦντα, πολεμήσοντα τῷ Γίλδωνι παραπέμπει.
sufficient going-to-war — against-Gildo sends

11.4 οὗτος ἀποβὰς ἔνθα διατρίβοντα τὸν ἀδελφὸν ἠκηκόει,
this-man having-landed where staying the brother he-had-heard
καὶ ἀπαρασκεύῳ μετὰ τῆς στρατιᾶς ἐπιπεσών,
and unprepared with the army having-fallen-upon(-him)
μάχης καρτερᾶς γενομένης τοσοῦτον ἐκράτησεν ὥστε
battle fierce having-happened so-much prevailed that
Γίλδωνα τὸν βίον ἀπολιπεῖν ἀπαγξάμενον· τοῦτο γὰρ
Gildo the life to-leave having-hanged-himself this for
εἵλετο μᾶλλον ἢ ὑπὸ τοῖς πολεμίοις γενέσθαι. καὶ ὁ
he-chose rather than under the enemies to-come and the
μὲν Γίλδωνος ἀδελφὸς ἀποδοὺς τῇ Ὀνωρίου βασιλείᾳ
indeed of-Gildo brother having-restored to-the of-Honorius rule
Λιβύην εἰς Ἰταλίαν ἐπανῄει νενικηκώς· Στελίχων δὲ
Libya to Italy returned having-conquered Stilicho and
νεμεσήσας ἐπὶ τῷ κατορθώματι θεραπεύειν ὅμως
having-been-jealous at the success to-court nevertheless
προσεποιεῖτο, χρηστὰς ὑποφαίνων ἐλπίδας.
pretended good holding-out hopes

ἐπεὶ δὲ προϊὼν ἐπί τι προάστειον ἐπὶ ποταμοῦ γεφύρας 11.5
when and going-forward to some suburb on of-a-river bridge
ἐγένετο, μετὰ δὲ τῶν ἄλλων εἵπετο καὶ ὁ Μασκέλδηλος
he-came with and the others followed also — Mascezel
αὐτῷ, σύνθημα πρὸς τούτου δεδομένον αὐτοῖς οἱ δορυφόροι
him a-signal by this-man given to-them the guards
πληροῦντες ὠθοῦσι κατὰ τοῦ ποταμοῦ. καὶ ὁ μὲν Στελίχων
fulfilling push(-him) down the river and — indeed Stilicho
ἐγέλα, τὸ δὲ ῥεῦμα συναρπάσαν ἀποπνίγει τὸν ἄνθρωπον.
laughed the and current having-seized drowns the man
Ἐντεῦθεν ἡ μὲν Εὐτροπίου δυσμένεια καὶ Στελίχωνος 12.1
from-then the indeed of-Eutropius hostility and of-Stilicho
ἀνεκαλύπτετο καὶ ἐν τοῖς ἁπάντων στόμασιν ἦν·
was-uncovered and in the of-all mouths was
ἀλλοτρίως δὲ πρὸς ἑαυτοὺς ἔχοντες ἐπὶ πάσης ἀδείας τοῖς
as-strangers and toward one-another being with all impunity in-the
τῶν ἀρχομένων κακοῖς ἐνετρύφων, ὁ μὲν ἤδη τὴν
of-the governed evils reveled the-one indeed already the
θυγατέρα Μαρίαν Ὁνωρίῳ τῷ βασιλεῖ γαμετὴν δεδωκώς,
daughter Maria to-Honorius the emperor as-wife having-given
ὁ δὲ κυριεύων Ἀρκαδίου καθάπερ βοσκήματος.
the-other and mastering Arcadius like a-beast-of-the-herd
εἴτε γὰρ κτῆμα περίβλεπτον ἦν τινὶ τῶν ὑπηκόων, εἰς 12.2
if for estate conspicuous was to-any of-the subjects into
θατέρου τούτων μετετίθετο δεσποτείαν, καὶ χρυσὸς δὲ
of-one-or-the-other of-these was-transferred ownership and gold too
καὶ ἄργυρος ἅπας ἐκ τῶν πρότερον ἐχόντων εἰς αὐτοὺς
and silver all from the(-ones) before having into them
ἔρρει· πολὺς γὰρ ἦν ὁ τῶν πανταχοῦ συκοφαντούντων
flowed great for was the of-the(-ones) everywhere informing
ἐσμός, οἷς ἐπετέτακτο τοιαῦτα καταμηνύειν.
swarm to-whom had-been-enjoined such-things to-denounce

13.1 Τῆς δὲ βασιλείας ἑκατέρωθεν οὔσης ἐν τούτοις, ἅπαντες
the and rule on-both-sides being in these-things all
μὲν οἱ τὴν γερουσίαν πληροῦντες ἐπὶ τῇ τῶν
indeed the(-ones) the senate filling at the of-the
πραγμάτων ἐδυσχέραινον κακουχίᾳ, οὐχ ἥκιστα δὲ Γαΐνης,
affairs were-vexed ill-treatment not least and Gainas
οὔτε τῆς πρεπούσης στρατηγῷ τιμῆς ἀξιούμενος, οὔτε
neither of-the fitting for-a-general honor being-deemed-worthy nor
δωρεαῖς ἀπληστίαν ἐμπλῆσαι βαρβαρικὴν δυνάμενος.
by-gifts insatiability to-fill barbarian being-able
ἀπέκναιε δὲ πλέον αὐτὸν εἰς τὴν Εὐτροπίου χρήματα
wore-down and more him into the of-Eutropius money
πάντα οἰκίαν εἰσρέοντα.
all house flowing

13.2 ἐπὶ τούτοις ἀχθόμενος κοινωνὸν ποιεῖται Τριβίγιλδον τῆς
at these being-aggrieved partner makes Tribigild of-the
σκέψεως. ἦν δὲ οὗτος ἀνὴρ φιλοκίνδυνος καὶ πρὸς πᾶσαν
deliberation was and this-man a-man fond-of-danger and for every
ἀπόνοιαν ἑτοιμότατος, ἦρχε δὲ οὐ Ῥωμαϊκῶν ἰλῶν
madness most-ready commanded and not Roman squadrons
ἀλλὰ βαρβάρων ἐνιδρυμένων τῇ Φρυγίᾳ, παρὰ βασιλέως
but barbarians settled — in-Phrygia from the-emperor
τὴν τούτων λαβὼν ἐπιμέλειαν.
the of-these having-received charge

13.3 οὗτος ἐπὶ τὴν Φρυγίαν ἐθέλειν ἐκδημῆσαι ποιούμενος, ὅπως
this-man to — Phrygia to-wish to-go-abroad pretending so-that
ἂν ἐπισκέψαιτο τοὺς ὑπ᾽ αὐτῷ τεταγμένους βαρβάρους,
— he-might-inspect the under him ranged barbarians
ἐπὶ τούτῳ τε τῆς Κωνσταντινουπόλεως ἐξορμήσας ἐχώρει.
on this and — from-Constantinople having-set-out went
παραλαβὼν δὲ τοὺς βαρβάρους ὧν τὴν ἡγεμονίαν εἶχεν,
having-taken-along and the barbarians whose the command he-had

ἅπαντα ἐπῄει τὰ ἐν μέσῳ, φόνου μὲν ἀνδρῶν
all attacked the(-places) in middle from-slaughter indeed of-men
ἢ γυναικῶν ἢ παιδαρίων οὐκ ἀπεχόμενος, τὰ δὲ ἐν
or of-women or of-children not abstaining the(-things) and at
ποσὶ λῃζόμενος·
feet plundering
ἐν ὀλίγῳ χρόνῳ τοσοῦτο πλῆθος συνήγαγεν οἰκετῶν 13.4
in little time so-great multitude gathered of-slaves
καὶ ἄλλως ἀπερριμμένων ἀνθρώπων ὥστε εἰς ἔσχατον
and otherwise outcast men that into utmost
κίνδυνον τὴν Ἀσίαν ἅπασαν ἀπαγαγεῖν. ἥ τε γὰρ Λυδία
danger — Asia all to-bring — both for Lydia
πάσης ἐπέπλητο ταραχῆς, πάντων ὡς εἰπεῖν ἐπὶ τὰ
with-all was-filled confusion all so to-say to the
θαλάσσια φυγόντων καὶ ἅμα τοῖς σφετέροις ἅπασιν
seaside having-fled and together-with the their-own all
ἐπὶ τὰς νήσους ἢ ἄλλοθί ποι διαπλεόντων· καὶ ἡ
to the islands or elsewhere somewhere sailing-across and the
πάραλος δὲ Ἀσία τὸν κίνδυνον ὅσον οὐδέπω θεωρήσειν
coastal too Asia the danger all-but now to-see
ἐπιστησόμενον αὐτῇ προσεδόκα.
going-to-come-upon it expected
ἀλλ' ἐπειδὴ ταῦτα τῷ βασιλεύοντι συνηγγέλθη, λόγον 14.1
but when these-things to-the reigning(-emperor) were-reported account
μὲν οὐδένα τῆς κοινῆς ἐποιεῖτο συμφορᾶς (οὐδὲ γὰρ
indeed none of-the common made calamity nor for
οἷός τε ἦν συνιδεῖν τὸ πρακτέον ἐσχάτως ἀνόητος ὤν),
able — was to-perceive the to-be-done utterly senseless being
Εὐτροπίῳ δὲ τὴν πᾶσαν ἔδωκε τῆς βασιλείας οἰκονομίαν.
to-Eutropius and the whole gave of-the rule management
ὃ δὲ Γαΐνην αἱρεῖται καὶ Λέοντα στρατηγούς, τὸν μὲν
he and Gainas chooses and Leo generals the-one indeed

εἰς τὴν Ἀσίαν ἐκπέμψων ἐπελευσόμενον τοῖς κατατρέχουσι
into — Asia going-to-send-out going-to-attack the overrunning
ταύτην βαρβάροις ἢ ἄλλως μιγάσιν ἀνθρώποις, Γαΐνην
it barbarians or otherwise mixed men Gainas
δὲ διὰ τῆς Θρᾴκης καὶ τῶν τοῦ Ἑλλησπόντου στενῶν
and through — Thrace and the of-the Hellespont straits
ἀπαντήσοντα τοῖς πολεμίοις, εἰ καὶ τοῖς τόποις ἐκείνοις
going-to-meet the enemies if even in-the places those
ἐνοχλοῦντας θεάσοιτο.
troubling he-should-see(-them)

14.2 Λέων μὲν οὖν ὁ τοῖς κατὰ τὴν Ἀσίαν συμβεβηκόσι
Leo indeed then the(-one) to-the(-things) in — Asia having-happened
βοηθῆσαι ταχθεὶς ἀρετῆς μὲν οὐδ' ἡστινοσοῦν μετειλήφει
to-help appointed of-virtue indeed not-even any-whatever had-shared
στρατηγικῆς, οὐδ' ἄλλου τινὸς ἀξίου πρὸς τοῦτο τύχης
generalship nor of-other anything worthy to this of-fortune
αὐτὸν ἀγαγεῖν, πλὴν ὅτι πρὸς Εὐτρόπιον εἶχεν οἰκείως·
him to-bring except that toward Eutropius he-was intimate
Γαΐνης δὲ τὴν ἐπὶ Θρᾴκην ἐστέλλετο, κωλύσων τὴν
Gainas and the(-road) to Thrace set-out going-to-prevent the
δι' Ἑλλησπόντου τῶν ἅμα Τριβιγίλδῳ διάβασιν,
through Hellespont of-the(-ones) with Tribigild crossing
ναυμαχήσων τε αὐτοῖς, εἰ καὶ τούτου γένοιτο χρεία.
going-to-fight-at-sea and them if even of-this there-should-be need
ταύτῃ διαταχθέντες οἱ στρατηγοὶ τὰς δυνάμεις ἀπῆγον,
thus arranged the generals the forces led-off
οὗπερ ἕκαστος ἔλαχε.
where each was-allotted

14.3 Γαΐνης δέ, ἃ συνέκειτο πρὸς Τριβίγιλδον αὐτῷ λαβὼν
Gainas and what had-been-agreed with Tribigild by-him having-taken
κατὰ νοῦν, καὶ ὡς ἐνέστηκεν ὁ καιρὸς ἀντιλαβέσθαι κελεύων
into mind and that was-at-hand the time to-take-hold bidding

τῆς ἐγχειρήσεως, ἐπὶ τὸν Ἑλλήσποντον ἄγειν Τριβιγίλδῳ
of-the undertaking to the Hellespont to-lead Tribigild
τὴν στρατιὰν ἐκέλευεν. εἰ μὲν οὖν ἅπερ ἐφρόνει κατὰ
the army bade if indeed then what he-was-planning against
τῆς πολιτείας ἐταμιεύσατο καὶ ἡσυχῇ μετὰ τῶν σὺν αὐτῷ
the state he-had-kept-hidden and quietly with the with him
βαρβάρων τῆς Κωνσταντινουπόλεως ἔτυχεν ἐξορμήσας,
barbarians — from-Constantinople had-happened having-set-out
πάντως ἂν ἐξέβαινεν αὐτῷ τὸ βεβουλευμένον
surely — would-have-turned-out for-him the(-thing) planned
εἰς τέλος, καὶ ἥ τε Ἀσία πᾶσα κατείληπτο καὶ
to completion and — both Asia all would-have-been-seized and
συναπολέσθαι ταύτῃ τὴν ἑῴαν οὐδὲν ἦν τὸ κωλῦον.
to-perish-with this the east nothing was the(-thing) hindering
ἀλλ' ἐπειδὴ τῇ Ῥωμαίων ἐπικρατείᾳ φυλάττεσθαι τὰς 14.4
but since for-the of-Romans dominion to-be-kept the
πόλεις ἐβούλετο τέως ἡ τύχη, Γαΐνης μὲν τῷ προσόντι
cities wished for-a-while the fortune Gainas indeed by-the belonging
φύσει θερμῷ καὶ μανιώδει τοῖς βαρβάροις ἐξενεχθεὶς
by-nature heat and frenzy to-the barbarians having-been-carried-away
ἀπεχώρει τῆς Κωνσταντινουπόλεως, ὅλην ὡς εἰπεῖν τὴν
departed — from-Constantinople all so to-say the
ἐξουσίαν τοῦ πολέμου παραλαβών, οὔπω δὲ σχεδὸν εἰς τὴν
authority of-the war having-taken-over not-yet and almost to —
Ἡράκλειαν ἀφιγμένος τῷ Τριβιγίλδῳ τὸ πρακτέον ἐσήμαινεν.
Heraclea having-arrived — to-Tribigild the to-be-done signaled
ὁ δὲ ἐπὶ τὸν Ἑλλήσποντον οὐκ ἔγνω χωρεῖν δέει τοῦ μὴ 14.5
he and to the Hellespont not resolved to-go by-fear of-the not
περιπεσεῖν ταῖς αὐτόθι καθεσταμέναις δυνάμεσι, πᾶσαν δὲ
to-fall-in-with the there established forces all and

καταστρεψάμενος τὴν Φρυγίαν προσέβαλλε καὶ Πισίδαις,
having-subdued — Phrygia attacked also Pisidians
καὶ κωλύματος οὐδενὸς πειραθεὶς ἀπῄει πάντα πορθῶν.
and of-hindrance none having-experienced went-away all ravaging
15.1 τούτων δὲ ἀπαγγελλομένων ὁ μὲν Γαΐνης οὐδένα τῶν
these-things and being-reported — indeed Gainas no of-the(-things)
πολεμουμένων ἐποιεῖτο λόγον, οἷα δὴ κατὰ νοῦν ἔχων
being-warred-upon made account as indeed in mind having
ὅσα πρὸς αὐτὸν Τριβιγίλδῳ συνέκειτο, Λέων δὲ τοῖς περὶ
as-much-as with him to-Tribigild had-been-agreed Leo and in-the about
τὸν Ἑλλήσποντον διέτριβε τόποις, οὔτε συμπεσεῖν ἐς μάχην
the Hellespont stayed places neither to-engage in battle
Τριβιγίλδῳ θαρρῶν, καὶ ἅμα δεδιέναι φάσκων μή ποτε δι᾽
with-Tribigild daring and at-once to-fear saying lest ever through
ἑτέρας ὁδοῦ μέρος τι τῆς στρατιᾶς ἐκπέμψας Τριβίγιλδος τὰ
another road part some of-the army having-sent Tribigild the
περὶ τὸν Ἑλλήσποντον λάθῃ χωρία καταστρεψάμενος.
about the Hellespont should-escape-notice places having-subdued
15.2 συνέβαινε τοίνυν, ὄντος οὐδενὸς ἐμποδίου τῷ Τριβιγίλδῳ,
it-happened therefore being no obstacle — to-Tribigild
πᾶσαν μὲν κατὰ κράτος ἁλίσκεσθαι πόλιν, ἀναιρεῖσθαί τε
every indeed by force to-be-taken city to-be-killed and
πάντας τοὺς οἰκήτορας ἅμα τοῖς στρατιώταις, βάρβαρον
all the inhabitants together-with the soldiers barbarian
δὲ σύμμαχον Ῥωμαίων εἶναι οὐδένα· τοῖς γὰρ ὁμοφύλοις
and ally of-Romans to-be none with-the for kinsmen
ἐν ταῖς συμβολαῖς ἀναμιγνύμενοι κατὰ τῶν Ῥωμαίοις
in the encounters mixing against the to-Romans
ὑπηκόων ἐχώρουν. ὁ δὲ Γαΐνης ἐπὶ ταῖς Ῥωμαίων ἄχθεσθαι
subject went — and Gainas at the of-Romans to-be-grieved
δοκῶν συμφοραῖς, θαυμάζειν ὅμως ἐποίει τὰ Τριβιγίλδου
seeming calamities to-admire nevertheless made the of-Tribigild

στρατηγήματα, καὶ ἀνανταγώνιστον ἔλεγεν εἶναι, φρονήσει
stratagems and unrivaled said to-be in-prudence
καὶ ἀγχινοίᾳ μᾶλλον ἢ δυνάμει πλεονεκτοῦντα.
and in-sagacity rather than in-force excelling
περαιωθεὶς δὲ εἰς τὴν Ἀσίαν ἐπεξῄει μὲν οὐδενί, περιεώρα 15.3
having-crossed and into — Asia attacked indeed no-one looked-on-at
δὲ τὴν τῶν πόλεων καὶ τῆς χώρας ἀπώλειαν· ἐπακολουθῶν
and the of-the cities and of-the country destruction following
δὲ μόνον καὶ τὰ γινόμενα τρόπον τινὰ θεωρῶν
and only and the(-things) happening in-way some watching
ἐκαραδόκει τὴν ἐπὶ τὴν ἑῴαν τοῦ Τριβιγίλδου διάβασιν,
he-awaited the to the east — of-Tribigild crossing
ἐκπέμπων μὲν αὐτῷ λάθρᾳ δυνάμεις συνεπιλαμβανομένας
sending indeed to-him secretly forces lending-a-hand
οἷς ἐπεχείρει, μήπω δὲ τὴν ἑαυτοῦ περὶ τὰ
in-what he-was-attempting not-yet and the his-own concerning the
πράγματα προαίρεσιν ἐπιδείξας.
affairs policy having-shown
εἰ μὲν οὖν ἐπελθὼν τὴν Φρυγίαν ὁ Τριβίγιλδος μὴ 15.4
if indeed then having-come-upon — Phrygia — Tribigild not
τὴν ἐπὶ Πισιδίαν ἀλλ᾽ εὐθὺς ἐπὶ Λυδίαν ἐχώρησεν,
the(-road) to Pisidia but at-once to Lydia had-gone
οὐδὲν ἂν ἐκώλυσε ταύτης ἀκονιτὶ κατὰ κράτος
nothing — would-have-hindered this without-a-struggle by force
αἱρεθείσης συναπολέσθαι καὶ τὴν Ἰωνίαν αὐτῇ, κἀκεῖθεν
having-been-taken to-perish-with also — Ionia it and-thence
αὐτὸν ἐπὶ τὰς νήσους σκάφεσι διαβάντα, καὶ ναυτικὸν
him to the islands in-boats having-crossed and navy
ὅσον ἐβούλετο πορισάμενον, ἅπασάν τε τὴν ἑῴαν
as-much-as he-wished having-procured all both the east

διαδραμεῖν καὶ μέχρις Αἰγύπτου πάντα λῄσασθαι, μηδεμιᾶς
to-overrun and up-to Egypt all to-plunder no
ἀξιομάχου δυνάμεως οὔσης.
a-match-in-battle force being

15.5 ἐπεὶ δὲ ταῦτα μὲν οὐκ ἔλαβε κατὰ νοῦν, ἔγνω δὲ
when and these-things indeed not he-took into mind resolved and
τῇ Παμφυλίᾳ Πισίδαις ὁμορούσῃ τὰς δυνάμεις ἐπαγαγεῖν,
— to-Pamphylia to-Pisidians bordering the forces to-bring-on
ὁδοῖς μὲν ἐνέτυχε δυσεμβάτοις καὶ ἱππασίᾳ παντάπασιν
roads indeed he-encountered hard-to-pass and for-riding altogether
ἀπροσίτοις, στρατοπέδου δὲ οὐδενὸς ἐναντιουμένου
inaccessible army and no opposing(-him)
Οὐαλεντῖνός τις τὴν Σέλγην οἰκῶν (πολίχνη δ' αὕτη
Valentinus some — Selge inhabiting small-town and this
Παμφυλίας ἐστίν, ἐπὶ λόφου κειμένη) παιδείας μετρίως
of-Pamphylia is on a-hill lying in-learning moderately
ἡμμένος καὶ πείρας οὐκ ἔξω τυγχάνων πολεμικῆς,
having-touched and of-experience not outside happening military
συναγαγὼν οἰκετῶν πλῆθος καὶ γεωργῶν, ταῖς πρὸς τοὺς
having-gathered of-slaves multitude and of-farmers in-the against the
γειτνιῶντας λῃστὰς συνεχέσι μάχαις γεγυμνασμένους, εἰς
neighboring robbers continual battles trained on
τοὺς ὑπερκειμένους τῶν παρόδων ἔστησε λόφους, ὡς ἂν
the overlying the passes set hills so-that —
θεωροῦντες ἅπαντας τοὺς διὰ τῆς ὁδοῦ πορευομένους
watching all the(-ones) through the road traveling
αὐτοὶ μὴ φαίνοιντο, κἂν εἰ ἡμέρας οὔσης οἱ ἐναντίοι
themselves not might-be-seen even if day being the opponents
διαβαίνοιεν.
should-pass

τοῦ δὲ Τριβιγίλδου διὰ τῆς ὁμαλωτέρας ὁδοῦ μετὰ τῶν 16.1
— and Tribigild through the more-level road with the
σὺν αὐτῷ βαρβάρων ἐπὶ τὰ κάτω μέρη τῆς Παμφυλίας
with him barbarians to the lower parts — of-Pamphylia
ἐλάσαντος, ἐλθόντος τε ἔτι νυκτὸς οὔσης εἰς τοὺς
having-marched having-come and still night being into the
ὑποκειμένους τῇ Σέλγῃ τόπους, ἐβάλλοντο σφενδόναις οἱ
lying-below — Selge places were-pelted with-slings the
βάρβαροι συνεχέσιν, ἀφιεμένων πέτρων χειροπλήθων καὶ
barbarians continual being-let-fly stones hand-filling and
ἔτι μειζόνων· ἦν γὰρ ἐξ ὑπερδεξίων ῥᾳδία καὶ ἡ τῶν
even greater it-was for from above easy also the of-the
ἁδροτέρων ἄφεσις λίθων.
larger letting-fly stones
ἀποφυγῆς δὲ οὐκ οὔσης — ἦν γὰρ κατὰ μὲν τὸ 16.2
of-escape and not being there-was for on indeed the
ἕτερον τῆς ὁδοῦ μέρος λίμνη βαθεῖα καὶ τέλματα, κατὰ
one of-the road side lake deep and swamps on
δὲ τὸ ἕτερον ἄνοδος στενή, δυοῖν μόλις ἀνδράσι πάροδον
and the other ascent narrow for-two scarcely men passage
ἐνδιδοῦσα· κυκλοειδῆ δὲ τὴν ἄνοδον οὖσαν οἱ ἐπιχώριοι
allowing circular and the ascent being the locals
καλοῦσι κοχλίαν, τῇ θέσει τοῦ ζῴου παρεμφερῶς. τοῦτον
call snail from-the shape of-the creature similarly this
ἐφύλαττε τὸν τόπον Φλωρέντιός τις, συμμάχους ἔχων εἰς
guarded the place Florentius some allies having for
τὸ κωλῦσαι τοὺς πειρωμένους διαβαίνειν ἀρκοῦντας.
the to-prevent the(-ones) attempting to-pass sufficient
ἐν τούτοις ἀπειλημμένοι τοῖς τόποις οἱ βάρβαροι καὶ τῷ 16.3
in these cut-off the places the barbarians both by-the
πλήθει καὶ μεγέθει τῶν λίθων βαλλόμενοι κατὰ τὸ πολὺ
multitude and size of-the stones being-pelted for the great

διεφθείροντο μέρος· κατὰ στενοχωρουμένων γὰρ αὐτῶν
perished part upon being-hemmed-in for them
οἱ λίθοι πίπτοντες οὐ διημάρτανον φόνου. πολλῆς τοίνυν
the stones falling not missed of-slaughter much therefore
ἐχούσης αὐτοὺς ἀπορίας, οἱ μὲν πλείους εἰς τὴν λίμνην
having them perplexity the indeed more into the lake
ἑαυτοὺς μετὰ τῶν ἵππων ἀφῆκαν, καὶ τὸν ἀπὸ τῶν
themselves with the horses flung and the from the
πέτρων φεύγοντες θάνατον ἐν τοῖς τέλμασι διεφθάρησαν,
stones fleeing death in the swamps perished
Τριβίγιλδος δὲ ἅμα τριακοσίοις ἀναβὰς ἐπὶ τὸν κοχλίαν,
Tribigild and with three-hundred having-gone-up to the snail
καὶ χρήμασιν ὅτι πλείστοις τὸν Φλωρέντιον καὶ τοὺς
and with-money as most — Florentius and the(-ones)
σὺν αὐτῷ φύλακας ὑπελθών, ὠνεῖται τὴν πάροδον·
with him guards having-won-over buys the passage
καὶ τούτῳ τῷ τρόπῳ διαφυγὼν τοὺς λοιποὺς ἅπαντας
and by-this the way having-escaped the rest all
περιεῖδεν ἄρδην ἀπολουμένους.
overlooked utterly going-to-perish

16.4 Τοῦτον δὴ τὸν τρόπον οἰηθεὶς ὁ Τριβίγιλδος τὸν
this indeed the way having-thought — Tribigild the
ἐπαχθέντα παρὰ Οὐαλεντίνου κίνδυνον αὐτῷ διαπεφευγέναι,
brought-on by Valentinus danger to-him to-have-escaped
τῶν πρότερον οὐκ ἐλάττοσι καθίστατο κινδύνοις περιπετής.
than-the former not lesser was-placed dangers fallen-into
ἅπαντες γὰρ ὡς εἰπεῖν οἱ τῶν πόλεων οἰκήτορες, τοῖς
all for so to-say the of-the cities inhabitants with-the(-weapons)
παρατυχοῦσιν ἐξοπλισάμενοι, συνέκλεισαν αὐτὸν ἅμα
at-hand having-armed shut-in him together-with
τοῖς συμφυγοῦσι τριακοσίοις ἐν μέσῳ τοῦ Μέλανος
the having-fled-with(-him) three-hundred in middle of-the Melas

ποταμοῦ καὶ τοῦ Εὐρυμέδοντος, ὧν ὁ μὲν ἐπέκεινα
river and of-the Eurymedon of-which the-one indeed beyond
διαβαίνει τῆς Σίδης, ὁ δὲ διαρρεῖ τῇ Ἀσπένδῳ.
passes — of-Side the-other and flows-through — Aspendus
στενοχωρούμενος δὲ καὶ ἀπορῶν ὅ τι πράξειε, πρὸς 16.5
being-hemmed-in and and being-at-a-loss what ever he-should-do to
τὸν Γαΐνην διεπρεσβεύετο. ὁ δὲ δυσχεραίνων ἐπὶ τοῖς
— Gainas sent-envoys he and being-vexed at the(-things)
συμβεβηκόσιν, οὔπω δὲ ἦν εἶχε περὶ τὴν ἐπανάστασιν
having-happened not-yet and what he-had about the revolt
γνώμην ἐμφαίνων, Λέοντα τὸν ὑποστρατηγοῦντα βοηθήσοντα
judgment showing Leo the lieutenant going-to-help
τοῖς κατὰ Παμφυλίαν ἐξέπεμπεν, ἐπιθησόμενον τοῖς
the(-people) in Pamphylia sent-out going-to-attack the(-ones)
ἀμφὶ Τριβίγιλδον ἅμα Οὐαλεντίνῳ καὶ οὐ συγχωρήσοντα
about Tribigild together-with Valentinus and not going-to-allow
τοὺς ποταμοὺς διαβῆναι. ὁ δὲ ἀνειμένος ὢν φύσει καὶ τρυφῇ
the rivers to-cross he and indolent being by-nature and to-luxury
πάσῃ τὸν βίον ἐκδεδωκὼς ὅμως ἐποίει τὸ κελευόμενον.
all the life having-given-over nevertheless did the(-thing) ordered
ὁ δὲ Γαΐνης δεδιὼς μή ποτε πανταχόθεν ὁ Τριβίγιλδος 17.1
— and Gainas fearing lest ever from-all-sides — Tribigild
πολιορκούμενος, οὐκ ἔχων ἀξιόμαχον δύναμιν, ἄρδην
being-besieged not having a-match-in-battle force utterly
ἀπόλοιτο, τῶν συνόντων αὐτῷ βαρβάρων λόχους ἄλλους
should-perish of-the being-with him barbarians companies others
ἐπ᾽ ἄλλοις ἔπεμπε τοῖς Ῥωμαϊκοῖς στρατοπέδοις, ὅπως
upon others sent to-the Roman armies so-that
αὐτά τε κατὰ βραχὺ διαφθείροιντο καὶ Τριβιγίλδῳ φυγῆς
they both by little might-be-destroyed and to-Tribigild of-flight
εὐρυχωρία δοθείη.
room might-be-given

17.2 συνέπιπτον τοίνυν οἱ παρὰ Γαΐνου δεδομένοι Λέοντι πρὸς
engaged therefore the by Gainas given to-Leo for
βοήθειαν βάρβαροι Ῥωμαίων παντί, καὶ τὴν μὲν
help barbarians of-Romans with-every(-one) and the indeed
χώραν ἐλῄζοντο, τοὺς δὲ στρατιώτας ἀνῄρουν. καὶ οὐκ
country plundered the and soldiers killed and not
ἀνῆκαν ἅπαντα ἐπιόντες, ἕως ὅτε τὴν ὑπὸ Λέοντι σὺν
left-off all attacking until when the under Leo with
αὐτῷ τῷ στρατηγῷ κατεδαπάνησαν δύναμιν καὶ πᾶσαν ὡς
the-very the general consumed force and all so
εἰπεῖν τὴν χώραν ἔρημον πεποιήκασιν, ὥστε καὶ τὸ
to-say the country desert have-made so-that also the(-thing)
τῷ Γαΐνῃ σπουδαζόμενον εἰς ἔργον ἐκβῆναι· διαφυγὼν
— by-Gainas being-pursued into deed to-turn-out having-escaped
γὰρ ἐκ τῆς Παμφυλίας ὁ Τριβίγιλδος χαλεπωτέρας τῶν
for from — Pamphylia — Tribigild harsher than-the
προτέρων ταῖς ἐν Φρυγίᾳ πόλεσιν ἐπέθηκε συμφοράς.
former on-the in Phrygia cities laid calamities

17.3 ὁ δὲ Γαΐνης ἐξαίρων εἰς ὕψος τὰ τούτου τῷ βασιλεῖ
— and Gainas raising to height the of-this-man to-the emperor
κατορθώματα, τοσοῦτον ἐνέθηκεν αὐτοῦ φόβον τῇ
successes so-much put of-him fear into-the
γερουσίᾳ καὶ τοῖς περὶ τὴν αὐλὴν ἅπασιν, ὥστε ἠπείλει
senate and the(-ones) about the court all that he-threatened
καὶ τοῖς καθ' Ἑλλήσποντον αὐτὸν ἐπελεύσεσθαι τόποις
also the(-places) along Hellespont him to-attack places
καὶ ὅσον οὐδέπω πάντα ἄνω καὶ κάτω ποιήσειν, εἰ μὴ
and all-but now all up and down to-make if not
τὰ σπουδαζόμενα τῷ πολεμίῳ τῆς παρὰ βασιλέως
the(-things) sought by-the enemy of-the from the-emperor
ἀξιωθείη προνοίας.
should-be-deemed-worthy consideration

ταῦτα δὲ ὁ Γαΐνης ἐμηχανᾶτο λανθάνειν τε αὐτὸν 17.4
these-things and — Gainas contrived to-escape-notice both himself
ἐθέλων ὅπως ἐφρόνει, καὶ διὰ τῶν εἰς Τριβίγιλδον
wishing how he-was-minded and through the(-things) to Tribigild
ἀναφερομένων τοῖς αὐτῷ κατὰ νοῦν οὖσιν ἔργον
referred to-the(-things) to-him in mind being deed
ἐπιθεῖναι βουλόμενος· ἀπέκναιε γὰρ αὐτὸν οὐ τὸ παρορᾶσθαι
to-put wishing wore-down for him not the to-be-slighted
τοσοῦτον ὅσον Εὐτρόπιος εἰς ἀκρότατον ἥκων ἤδη
so-much as Eutropius to highest having-come already
δυνάμεως, ὥστε καὶ εἰς ὑπάτους ἀναρρηθῆναι καὶ τῷ
of-power so-that both among consuls to-be-proclaimed and by-the
χρόνῳ φέρεσθαι τὴν τούτου προσηγορίαν καὶ τιμηθῆναι
year to-be-borne the his name and to-be-honored
τῇ τῶν πατρικίων ἀξίᾳ.
with-the of-the patricians rank
ταῦτα μάλιστα τὸν Γαΐνην ἐκίνησεν εἰς τὴν τῶν 17.5
these-things most — Gainas moved to the of-the
κοινῶν ἐπανάστασιν. παρασκευαζόμενος δὲ τῇ γνώμῃ
common(-affairs) revolt-against preparing and in-the judgment
πρὸς τοῦτο πρότερον Εὐτροπίῳ θάνατον ἔγνω βουλεῦσαι·
for this first for-Eutropius death be-resolved to-plot
καὶ κατὰ τὴν Φρυγίαν ἔτι διατρίβων ἐκπέμπει πρὸς βασιλέα
and in — Phrygia still staying sends to the-emperor
λέγων ὡς ἀπειρήκοι τῇ περὶ τὰ πολέμια Τριβιγίλδου
saying that he-had-given-up before-the about the war(-arts) of-Tribigild
δεινότητι, καὶ ἄλλως οὐχ οἷόν τε φέρειν τὴν τούτου
cleverness and otherwise not possible — to-bear the his
μανίαν οὐδὲ τὴν Ἀσίαν τῶν ἐπικειμένων αὐτῇ κινδύνων
madness nor — Asia from-the pressing it dangers
ἐλευθερωθῆναι, πλὴν εἰ μὴ ταῖς αἰτήσεσιν αὐτοῦ βασιλεὺς
to-be-freed except if not to-the requests of-him the-emperor

ἐνδοῦναι πεισθείη. τὰ δὲ τῶν αἰτήσεων εἶναι τὸν
to-yield should-be-persuaded the(-content) and of-the requests to-be the
τῶν πάντων κακῶν αἰτιώτατον Εὐτρόπιον ἐκδοθῆναί
of-the all evils most-responsible Eutropius to-be-handed-over
οἱ πρὸς τὸ πράττειν εἰς αὐτὸν ὅ τι βούλοιτο.
to-him for the to-do to him what ever he-might-wish

XI · THE FALL OF GAINAS

Arcadius strips Eutropius of his rank; Eutropius flees to a church, is sent to Cyprus, and is put to death at Chalcedon. Gainas makes a treaty with the emperor and marches with Tribigild through Lydia; near Chalcedon Arcadius hands over Aurelianus, Saturninus, and John, whom Gainas only exiles. Gainas leaves many barbarians in Constantinople and moves on the wall before the agreed signal; the citizens kill the barbarians in the city, and more than seven thousand who take refuge in a church are burned there at the emperor's order. Gainas tries to cross the Hellespont on rafts, and Fravitta, a pagan barbarian, sinks them, does not pursue, and is made consul. Uldes the Hun kills Gainas beyond the Ister and sends his head to Arcadius, and Fravitta clears Thrace of runaways posing as Huns. After a lacuna, guards landing in Epirus let their prisoners escape.

18.1 ταῦτα ὁ βασιλεὺς Ἀρκάδιος ἀκηκοὼς ἅμα τε εἰσκαλεῖ
these-things the emperor Arcadius having-heard at-once both summons
τὸν Εὐτρόπιον καὶ τῆς ἀξίας παραλύσας ἀφῆκεν. ὁ δὲ
— Eutropius and from-the rank having-removed let-go(-him) he and
δρομαῖος ἐπὶ τὴν τῶν Χριστιανῶν ἐχώρησεν ἐκκλησίαν,
running to the of-the Christians went church
ἔχουσαν ἐξ ἐκείνου τὸ ἄσυλον. ἐπεὶ δὲ πολὺς ἦν ὁ Γαΐνης
having from that-time the asylum since and insistent was — Gainas
οὐκ ἄλλως ἀνήσειν λέγων τὸν Τριβίγιλδον, εἰ μὴ Εὐτρόπιος
not otherwise to-let-go saying — Tribigild if not Eutropius
ἐκποδὼν γένοιτο, καὶ παρὰ τὸν ἐπὶ τῷ ἀσύλῳ τῶν
out-of-the-way should-become even contrary-to the for the asylum of-the

ἐκκλησιῶν τεθέντα νόμον ἐξαρπάσαντες αὐτὸν εἰς τὴν
churches laid-down law having-snatched-away him into —
Κύπρον ἐκπέμπουσιν, ὑπὸ φυλακὴν ἀκριβῆ καταστήσαντες.
Cyprus they-send under guard strict having-placed(-him)
ἐπικειμένου δὲ Γαΐνου καὶ πρὸς τὴν ἀναίρεσιν αὐτοῦ τὸν 18.2
pressing and Gainas and to the killing of-him —
Ἀρκάδιον συνελαύνοντος, σοφιζόμενοι τὸν ὅρκον οἱ
Arcadius driving quibbling-away the oath the(-ones)
τὰ περὶ βασιλέα διατιθέντες ὃν ἔτυχεν Εὐτρόπιος
the(-affairs) about the-emperor managing which happened Eutropius
εἰληφὼς ἡνίκα τῆς ἐκκλησίας ἐξείλκετο, μετάπεμπτον
having-received when from-the church he-was-dragged summoned
μὲν ἐκ τῆς Κύπρου ποιοῦνται, ὥσπερ δὲ ὀμωμοκότες
indeed from — Cyprus they-make(-him) as-if and having-sworn
ὄντι κατὰ τὴν Κωνσταντινούπολιν αὐτῷ θάνατον μὴ
to-him-being in — Constantinople to-him death not
ἐπάγειν, εἰς Χαλκηδόνα πέμψαντες ἀποσφάττουσιν.
to-bring to Chalcedon having-sent(-him) they-slaughter(-him)
Εὐτροπίῳ μὲν οὖν ἡ τύχη κατ᾽ ἀμφότερα παραλόγως 18.3
Eutropius indeed then the fortune in both-ways beyond-reason
ἐχρήσατο, πρὸς ὕψος ἄρασα τοσοῦτον ἐς ὅσον
treated to height having-raised so-much to as-much-as
οὐδὲ εἷς πώποτε τῶν εὐνούχων ἀνεβιβάσθη, θάνατόν τε
not-even one ever of-the eunuchs was-raised death and
ἐπαγαγοῦσα διὰ τὸ μῖσος ὃ πρὸς αὐτὸν οἱ τῇ
having-brought because-of the hatred which toward him the(-ones) the
πολιτείᾳ πολεμοῦντες ἔλεγον ἔχειν.
state warring said to-have
Ὁ δὲ Γαΐνης ἤδη πᾶσιν ὢν πρόδηλος ὡς εἰς νεωτερισμὸν 18.4
— and Gainas already to-all being plain that to revolution
φέρεται, λανθάνειν ὅμως ἐνόμιζε· καὶ τῆς Τριβιγίλδου
he-is-borne to-escape-notice nevertheless thought and of-the of-Tribigild

γνώμης κύριος ὢν οἷα καὶ δυνάμει προέχων καὶ ἀξιώσει,
purpose master being as both in-power excelling and in-rank
τὸ τούτου πρόσωπον ὑποδυόμενος σπονδὰς πρὸς τὸν
the of-this-one mask putting-on treaty with the
βασιλέα ποιεῖται, καὶ ὅρκους ὑποσχὼν καὶ λαβὼν διὰ
emperor makes and oaths having-given and having-taken through
Φρυγίας ἀνέστρεψε καὶ Λυδίας. ἐφείπετο δὲ αὐτῷ καὶ
Phrygia returned and Lydia followed and him also
ὁ Τριβίγιλδος, διὰ τῆς ἄνω Λυδίας ἄγων τοὺς ὑπ᾽
— Tribigild through the upper Lydia leading the(-ones) under
αὐτὸν τεταγμένους, ὥστε μηδὲ θεάσασθαι τὰς Σάρδεις,
him ranged so-that not-even to-see — Sardis
ἣ τῆς Λυδίας ἐστὶ μητρόπολις.
which — of-Lydia is chief-city
18.5 ἐπεὶ δὲ εἰς Θυάτειρα συνέμιξαν ἀλλήλοις, μετέμελε τῷ
when and at Thyatira they-met one-another regretted —
Τριβιγίλδῳ τὰς Σάρδεις ἀπορθήτους ἀφέντι ῥᾴδιον
Tribigild — Sardis unsacked having-let-go easy
ὂν τὴν πόλιν ἑλεῖν πάσης ἔρημον οὖσαν ἐπικουρίας.
being the city to-take of-all destitute being help
ἀναστρέφειν οὖν ἔγνω σὺν τῷ Γαΐνῃ καὶ τὴν πόλιν
to-turn-back then he-resolved with — Gainas and the city
κατὰ κράτος ἑλεῖν· κἂν εἰς ἔργον αὐτοῖς ἡ γνώμη
by force to-take and-would into deed for-them the purpose
προῆλθεν, εἰ μὴ γενόμενος ὄμβρος ἐξαίσιος, καὶ τήν τε
have-advanced if not having-come a-rain extraordinary and the both
γῆν ἐπικλύσας καὶ τοὺς ποταμοὺς καταστήσας ἀπόρους,
land having-flooded and the rivers having-made impassable
ταύτην αὐτῶν ἐνέκοψε τὴν ὁρμήν.
this their had-cut-off the impulse

διελόμενοι δὲ τὴν ὁδὸν ἦγον τὰς δυνάμεις ὁ μὲν Γαΐνης 18.6
having-divided and the road they-led the forces — indeed Gainas
ἐπὶ τὴν Βιθυνίαν, ἄτερος δὲ ἐπὶ τὸν Ἑλλήσποντον,
to — Bithynia the-other and to the Hellespont
τὰ ἐν ποσὶ πάντα τοῖς ἑπομένοις σφίσι βαρβάροις
the(-things) at feet all to-the following them barbarians
ἐκδόντες εἰς ἁρπαγήν. ὡς δὲ ὁ μὲν τὴν Χαλκηδόνα
having-given-up to plunder as and the-one indeed — Chalcedon
κατέλαβεν ὁ δὲ τὰ περὶ τὴν Λάμψακον εἶχε,
reached the-other and the(-places) about — Lampsacus held
τὴν μὲν Κωνσταντινούπολιν καὶ αὐτὴν τὴν Ῥωμαίων
— indeed Constantinople and itself the of-Romans
ἐπικράτειαν ἔσχατος περιίστατο κίνδυνος, ὁ δὲ Γαΐνης
dominion utmost surrounded danger — and Gainas
αὐτὸν ᾔτει τὸν βασιλέα πρὸς ἑαυτὸν ἥκειν· οὐ γὰρ
himself demanded the emperor to himself to-come not for
ἂν ἑτέρῳ παρὰ τοῦτόν τινι διαλέξασθαι.
— with-other besides this-one anyone to-confer
καὶ πρὸς τοῦτο δὴ τοῦ βασιλέως ἐνδόντος, ἐγίνετο 18.7
and to this indeed the emperor having-yielded took-place
μὲν ἡ σύνοδος ἔν τινι πρὸ τῆς Χαλκηδόνος τόπῳ, καθ᾽
indeed the meeting in some before — Chalcedon place in
ὃν ὁσίας Εὐφημίας μαρτύριον ᾠκοδόμητο, τιμῆς διὰ
which of-holy Euphemia martyr's-shrine had-been-built of-honor because-of
τὴν περὶ τὸν Χριστὸν θρησκείαν ἀξιωθείσης, ἐδόκει
the about the Christ worship deemed-worthy it-was-agreed
τε τὸν Γαΐνην καὶ Τριβίγιλδον ἀπὸ τῆς Ἀσίας ἐπὶ τὴν
both — Gainas and Tribigild from — Asia to —
Εὐρώπην περαιωθῆναι, κομιζομένους ἐκδότους ἐπὶ θανάτῳ
Europe to-cross receiving handed-over for death
τοὺς ἐξέχοντας τοῦ πολιτεύματος ἄνδρας·
the prominent of-the state men

18.8 οὗτοι δὲ ἦσαν Αὐρηλιανὸς ὁ τὴν ὕπατον ἔχων ἐν
these and were Aurelianus the(-one) the consular holding in
ἐκείνῳ τῷ ἔτει τιμὴν καὶ Σατουρνῖνος ἐναριθμηθεὶς ἤδη
that the year honor and Saturninus counted already
τοῖς ὑπάτοις καὶ Ἰωάννης ἐπὶ τούτοις, τὰ ἀπόρρητα
among-the consuls and John besides these the secrets
πάντα παρὰ βασιλέως τεθαρρημένος, ὃν ἔλεγον οἱ
all by the-emperor entrusted-with whom said the
πολλοὶ καὶ τοῦ Ἀρκαδίου παιδὸς εἶναι πατέρα.
many also of-the of-Arcadius son to-be father

18.9 ὁ μὲν οὖν βασιλεὺς καὶ ταύτην αὐτοῦ τὴν τυραννικὴν
the indeed then emperor also this his the tyrannical
αἴτησιν ἀπεπλήρου, Γαΐνης δὲ τοὺς ἄνδρας παραλαβών,
request fulfilled Gainas and the men having-received
καὶ τὸ ξίφος αὐτοῖς ἄχρι ψαῦσαι μόνον τοῦ σώματος
and the sword to-them until to-graze only the body
ἐπιθείς, ἠρκέσθη τούτους ζημιωθῆναι φυγῇ. περαιωθεὶς
having-applied was-content these to-be-punished with-exile having-crossed
δὲ ἐπὶ τὴν Θράκην, ἀκολουθῆσαί οἱ Τριβιγίλδῳ κελεύσας,
and to — Thrace to-follow him Tribigild having-bidden
ἀπέλιπε τὴν Ἀσίαν ἀναπνεύσασάν πως καὶ τῶν
left — Asia having-breathed-again somehow and from-the
περιστάντων ἀπαλλαγεῖσαν κινδύνων.
besetting freed dangers

18.10 ἐν δὲ τῇ Κωνσταντινουπόλει διατρίβων τοὺς μὲν ὑπ' αὐτῷ
in and — Constantinople staying the indeed under him
τεταγμένους στρατιώτας ἄλλους ἀλλαχῇ διέσπειρεν, ὥστε καὶ
ranged soldiers others elsewhere he-scattered so-that even
αὐτῶν τῶν ἐν τῇ αὐλῇ δορυφόρων γυμνῶσαι τὴν πόλιν, τοῖς
of-the-very the in the court guards to-strip the city to-the
δὲ βαρβάροις ἐδίδου λάθρᾳ συνθήματα, παρεγγυῶν, ἐπειδὰν
and barbarians gave secretly signals bidding whenever

ἴδοιεν ἐξελθόντα λάθρα τῆς πόλεως, ἐπιθέσθαι
they-should-see(-him) having-gone-out secretly from-the city to-attack
αὐτῇ παραχρῆμα τῆς ἀπὸ τῶν στρατιωτῶν οὔσῃ βοηθείας
it immediately of-the from the soldiers being help
ἐρήμῳ, καὶ τὴν πᾶσαν ἐπικράτειαν αὐτῷ παραδοῦναι.
destitute and the whole dominion to-him to-hand-over
ταῦτα τοῖς ὑπ᾽ αὐτὸν ἐπισκήψας πρᾶξαι βαρβάροις 19.1
these-things the under him having-enjoined to-do barbarians
ἐξῄει τῆς πόλεως, μαλακῶς ἔχειν εἰπὼν αὑτῷ τὸ σῶμα
went-out from-the city weakly to-be saying for-him the body
τοῖς ἐν τῷ πόλεμῳ πόνοις, δεῖσθαί τε ῥᾳστώνης, ἧς
by-the in the war toils to-need and rest which
οὐκ ἂν τύχῃ μὴ παραδοὺς ἑαυτὸν φροντίδας οὐκ
not — he-would-obtain not having-given himself cares not
ἐχούσῃ διατριβῇ.
having to-a-sojourn
καταλιπὼν οὖν ἐν τῇ πόλει βαρβάρους πολλῷ τῷ μέτρῳ 19.2
having-left then in the city barbarians by-much the measure
τὸν ἀριθμὸν ὑπεραίροντας τῶν ἐπὶ φυλακῇ τῆς αὐλῆς
the number exceeding of-the(-ones) for guard of-the court
τεταγμένων, εἴς τι προάστειον ἀνεχώρει τεσσαράκοντα
appointed into some suburb withdrew forty
σταδίοις τῆς πόλεως διεστώς, αὐτόθεν προσδεχόμενος
stades from-the city distant from-there expecting
ἐπιθήσεσθαι, τῶν ἐν ταύτῃ βαρβάρων κατὰ τὰ
to-attack the in it barbarians according-to the(-plan)
συγκείμενα πρώτων ἐπιθεμένων. ἀλλ᾽ ἐν ταύταις ἦν ὁ
agreed first having-attacked but in these was —
Γαΐνης ταῖς ἐλπίσι· καὶ εἰ μὴ θερμότητι παραφερόμενος
Gainas the hopes and if not by-heat being-carried-away

βαρβαρικῇ τὸν ἁρμόδιον καιρὸν προκατείληφεν, οὐδὲν ἂν
barbarian the fitting moment he-had-anticipated nothing —
ἐκώλυσεν ἐπὶ τοῖς βαρβάροις γενέσθαι τὴν πόλιν.
would-have-prevented under the barbarians to-come the city

19.3 ἐπεὶ δὲ οὐκ ἀναμείνας τὸ σύνθημα τῷ τείχει προσήγαγε,
when and not having-awaited the signal to-the wall he-brought(-them)
καταπλαγέντες οἱ φύλακες ἀνεβόησαν, θορύβου δὲ
having-been-struck-with-dismay the guards shouted uproar and
πᾶσιν ἐγγενομένου θρῆνος ἐξηκούετο γυναικῶν, οἰμωγὴ
in-all having-arisen a-lament was-heard of-women wailing
δὲ ἦν παμμιγὴς ὡς ἤδη τῆς πόλεως ἐχομένης, ἕως
and was all-mingled as already the city being-held until
συνδραμόντες ἅπαντες κατὰ τῶν ἐν τῇ πόλει βαρβάρων
having-run-together all against the in the city barbarians
συνέστησαν, τούτους τε ἀνελόντες ξίφεσί τε καὶ λίθοις
stood-together these both having-killed with-swords both and with-stones
καὶ πᾶσι τοῖς εἰς χεῖρας ἐλθοῦσιν ἐπὶ τὸ τεῖχος
and with-all the(-things) to hands having-come to the wall
ἀνέδραμον, ἅμα δὲ τοῖς φύλαξι τοὺς ἀμφὶ τὸν
ran-up together-with and the guards the(-ones) about —
Γαΐνην ἀκοντίζοντες παντὶ τῷ προσπίπτοντι τῆς
Gainas javelining with-every the(-thing) falling-in-the-way from-the
ἐπὶ τὴν πόλιν ὁρμῆς ἀνεχαίτισαν.
against the city impulse they-checked

19.4 Ἀλλὰ τῆς πόλεως τρόπῳ τοιῷδε τὸν κίνδυνον διαφυγούσης,
but the city in-way such the danger having-escaped
βάρβαροι παρὰ τῶν ἔνδον ἀπειλημμένοι, πλέον ἢ
barbarians by the(-ones) inside cut-off more than
ἑπτακισχίλιοι, τὴν τῶν Χριστιανῶν ἐκκλησίαν, ἥ πλησίον
seven-thousand the of-the Christians church which near
ἐστὶ τῶν βασιλείων, κατέλαβον, ταύτῃ τὸ ἄσυλον αὑτοῖς
is the palace occupied by-this the asylum for-themselves

ἐπὶ τῇ σωτηρίᾳ περιποιοῦντες· οὓς ὁ βασιλεὺς κἀνταῦθα
for the safety securing whom the emperor even-there
διαφθείρεσθαι παρεκελεύετο, μηδὲ ἀρκέσαι τὸν τόπον αὐτοῖς
to-be-destroyed ordered nor to-suffice the place for-them
εἰς ἀποφυγὴν τῆς κατὰ τὴν ἀξίαν ὧν ἐτόλμησαν δίκης.
for escape from-the according-to the worth of-what they-dared penalty
καὶ ὁ μὲν βασιλεὺς ταῦτα ἐκέλευεν, ἐθάρρει δὲ οὐδὲ εἷς 19.5
and the indeed emperor these-things ordered dared and not-even one
χεῖρας ἐπαγαγεῖν καὶ τῶν ἀσύλων αὐτοὺς ἐξελκύσαι
hands to-lay-on and from-the inviolable(-places) them to-drag-out
δέει τοῦ τινὸς ἀντιστάσεως ὑπ᾽ αὐτῶν πειραθῆναι.
by-fear of-the some resistance from them to-experience
ἐδόκει τοίνυν τὴν ὑπερκειμένην τῆς τραπέζης τοῦ
it-seemed-good therefore the lying-over the table of-the
λεγομένου θυσιαστηρίου στέγην γυμνωθεῖσαν *** ἐνδοῦναι
so-called altar roof having-been-stripped (lacuna) to-allow
τοῖς εἰς τοῦτο τεταγμένοις ξύλα πεπυρωμένα κατὰ
to-the(-ones) for this appointed timbers set-on-fire against
τούτων ἀφιέναι καὶ τοῦτο συνεχέστερον ποιοῦσιν ἄρδην
these to-let-fly and this more-continually doing utterly
ἅπαντας καταφλέξαι. καὶ τοῦτο γενόμενον τοὺς μὲν
all to-burn-up and this having-happened the indeed
βαρβάρους ἀνεῖλεν, ἔδοξε δὲ παρὰ τοῖς σφόδρα
barbarians killed it-seemed and among the(-ones) very
χριστιανίζουσι μέγα μύσος ἐν μέσῃ τετολμῆσθαι τῇ πόλει.
christianizing a-great pollution in middle to-have-been-dared the city
Γαΐνης μὲν οὖν τῆς οὕτω μεγίστης ἐγχειρήσεως 19.6
Gainas indeed then from-the so very-great undertaking
ἀποσφαλεὶς ἤδη προφανῶς τὸν κατὰ τῆς πολιτείας
having-failed already openly the against the state
ἀνερρίπιζε πόλεμον, ἐπιὼν δὲ τοῖς ἐν Θρᾴκῃ χωρίοις τὰς
rekindled war attacking and the in Thrace places the

μὲν πόλεις ἑώρα καὶ τείχεσι πεφραγμένας καὶ τὴν παρὰ
indeed cities saw both with-walls fenced and the from
τῶν ἀρχόντων καὶ οἰκητόρων ἐχούσας φυλακήν· ἤδη γὰρ
the officials and inhabitants having guard already for
ἐκ τῶν προλαβουσῶν ἐφόδων οὐκ ἀμελέτητοι πολέμων
from the preceding attacks not unpracticed in-wars
γεγονότες παντὶ σθένει πρὸς τὸ πολεμεῖν ὥρμηντο.
having-become with-all strength for the to-fight had-been-roused

19.7 καὶ Γαΐνης οὐδὲν ἕτερον ἔξω τειχῶν περιλελειμμένον
and Gainas nothing else outside walls left
θεώμενος πλὴν πόαν (ἐμέλησε γὰρ ἅπασι συγκομίσαι
seeing except grass it-was-a-care for to-all to-bring-in
καρπούς τε παντοίους καὶ ζῷα καὶ παντοίαν ἀποσκευὴν)
crops both of-all-kinds and animals and all-kinds-of baggage
ἔγνω τὴν Θρᾴκην ἀπολιπὼν δραμεῖν ἐπὶ τὴν Χερρόνησον
he-resolved — Thrace having-left to-run to the Chersonese
καὶ εἰς τὴν Ἀσίαν παλινδρομῆσαι διὰ τῶν τοῦ
and into — Asia to-run-back through the of-the
Ἑλλησπόντου στενῶν.
Hellespont straits

20.1 ὄντος δὲ ἐν τούτοις αὐτοῦ, κοινῇ ψήφῳ βασιλεύς τε
being and in these-things him by-common vote emperor both
καὶ ἡ γερουσία στρατηγὸν ἐπὶ τῷ κατὰ Γαΐνην αἱροῦνται
and the senate general for the against Gainas choose
πολέμῳ Φράουιττον, ἄνδρα βάρβαρον μὲν τὸ γένος,
war Fravitta a-man barbarian indeed by-the race
Ἕλληνα δὲ ἄλλως οὐ τρόπῳ μόνον ἀλλὰ καὶ προαιρέσει
a-Greek and otherwise not in-manner only but also in-principle
καὶ τῇ περὶ τὰ θεῖα θρησκείᾳ. τούτῳ τοίνυν ἤδη
and in-the about the divine(-things) worship to-this-man therefore already
πολλαῖς διαπρέψαντι στρατηγίαις, καὶ τὴν ἑῴαν ἅπασαν
in-many having-excelled commands and the east all

ἀπὸ Κιλικίας ἄχρι Φοινίκης καὶ Παλαιστίνης τῆς ἀπὸ τῶν
from Cilicia up-to Phoenicia and Palestine from-the from the
λῃστῶν λύμης ἐλευθερώσαντι, παραδεδώκασι τὰς δυνάμεις.
robbers ravage having-freed they-have-handed-over the forces
ὁ δὲ ταύτας παραλαβὼν ἀντικάθητο τῷ Γαΐνῃ, τὴν 20.2
he and these having-received sat-opposite — Gainas the
διὰ τοῦ Ἑλλησπόντου κωλύων τῶν βαρβάρων ἐπὶ τὴν
through the Hellespont preventing of-the barbarians to —
Ἀσίαν διάβασιν. παρασκευαζομένου δὲ Γαΐνου πρὸς μάχην,
Asia crossing preparing and Gainas for battle
ἀργούντων οὐκ ἠνείχετο τῶν στρατιωτῶν ὁ Φράουιττος,
idle not did-endure the soldiers — Fravitta
ἀλλὰ μελέταις συνεχέσιν ἐξήσκει, καὶ ἐπὶ τοσοῦτον ταῖς
but with-practices continual trained(-them) and to such by-the
γυμνασίαις ἐπέρρωσεν ὥστε ἀντὶ τῆς πρὸ τούτου
exercises strengthened(-them) that instead-of the before this
ῥᾳστώνης τε καὶ ἐκμελείας, ἐφ' οἷς ὁ Γαΐνης μέλλειν
ease both and carelessness at which — Gainas to-delay
ἐδόκει πρὸς τὸν πόλεμον, δυσχεραίνειν.
seemed for the war to-be-vexed
Φράουιττος μὲν οὖν κατὰ τὴν Ἀσίαν ἐν τούτοις ἦν, 20.3
Fravitta indeed then in — Asia in these-things was
νύκτωρ καὶ μεθ' ἡμέραν τό τε στρατόπεδον τὸ οἰκεῖον
by-night and by day the both army the own
ἐπισκοπῶν καὶ τὰς τῶν ἐναντίων ἀποθεωρῶν ἐγχειρήσεις.
inspecting and the of-the opponents observing attempts
ἐπεμελεῖτο δὲ καὶ τοῦ ναυτικοῦ· πλοῖα γὰρ ἦν αὐτῷ
took-care and also of-the navy vessels for were to-him
πρὸς ναυμαχίαν ἀρκοῦντα, Λίβερνα ταῦτα καλούμενα,
for sea-battle sufficient Liburnian these called

ἀπό τινος πόλεως ἐν Ἰταλίᾳ κειμένης ὀνομασθέντα, καθ'
from some city in Italy lying named in
ἣν ἐξ ἀρχῆς τούτων τῶν πλοίων τὸ εἶδος ἐναυπηγήθη.
which from beginning of-these the vessels the form was-built

20.4 δοκοῦσι δέ πως τὰ πλοῖα ταῦτα ταχυναυτεῖσθαι
seem and somehow the vessels these to-sail-fast
πεντηκοντόρων οὐχ ἧττον, κατὰ πολὺ τῶν τριηρικῶν
than-penteconters not less by much than-the trireme(-ships)
ἐλαττούμενα, πλείστοις ἔτεσι πρότερον τῆς τούτων
inferior very-many years before of-the of-these
ἐκλιπούσης δημιουργίας, εἰ καὶ Πολύβιος ὁ συγγραφεὺς
having-failed construction if even Polybius the historian
ἐκτίθεσθαί πως ἔδοξε τῶν ἑξηρικῶν πλοίων τὰ μέτρα,
to-set-out somehow seemed of-the six-banked vessels the measures
οἷς φαίνονται πολλάκις Ῥωμαῖοι καὶ Καρχηδόνιοι
with-which appear often Romans and Carthaginians
πολεμήσαντες πρὸς ἀλλήλους.
having-warred against one-another

21.1 ὁ δὲ Γαΐνης ἐκβιασάμενος τὴν διὰ τοῦ Μακροῦ τείχους
— and Gainas having-forced the through the Long Wall
ἐπὶ τὴν Χερρόνησον εἴσοδον, ἐξέτασσε τοὺς βαρβάρους
to the Chersonese entry drew-up the barbarians
παρὰ πᾶσαν τὴν Θρᾳκίαν ὀφρὺν τὴν ἀντιπαρατείνουσαν
along all the Thracian brow the extending-opposite
τοῖς ἀπὸ τοῦ Παρίου μέχρι Λαμψάκου καὶ Ἀβύδου
to-the(-places) from — Parium up-to Lampsacus and Abydos
καὶ τῶν ποιούντων τὴν στενὴν θάλασσαν τόπων.
and of-the making the narrow sea places

21.2 ὁ μὲν οὖν Ῥωμαίων στρατηγὸς ταῖς ναυσὶ περιέπλει
the indeed then of-Romans general with-the ships sailed-around
τὰ κατὰ τὴν Ἀσίαν χωρία, νύκτωρ τε καὶ μεθ' ἡμέραν
the in — Asia places by-night both and by day

τὰ ἐγχειρήματα τῶν βαρβάρων ἀποσκοπῶν· ὁ δὲ Γαΐνης
the attempts of-the barbarians watching — and Gainas
ἀπορίᾳ τῶν ἐπιτηδείων ἐπὶ τῇ τριβῇ δυσανασχετῶν, ἐκ
by-lack of-the provisions at the delay being-vexed from
τῆς κατὰ τὴν Χερρόνησον ὕλης ξύλα τεμὼν καὶ ταῦτα
the in the Chersonese forest timbers having-cut and these
συγκολλήσας ἀλλήλοις πρὸς πᾶσαν ἀκρίβειαν, ἐπιτήδειά
having-glued to-one-another to all exactness suitable
τε πρὸς ὑποδοχὴν ἀνδρῶν τε καὶ ἵππων ἀποτελέσας,
and for reception of-men both and of-horses having-made
ἐνεβίβασε τούτοις μετὰ τῶν ἵππων τοὺς ἄνδρας καὶ
put-aboard on-these with the horses the men and
ἀφῆκε φέρεσθαι κατὰ ῥοῦν· οὔτε γὰρ κώπαις ἰθύνεσθαι
let(-them) be-carried by current neither for with-oars to-be-steered
οἷά τε ἦν οὔτε ἄλλως κυβερνητῶν ἀνέχεσθαι τέχνης,
able — they-were nor otherwise of-helmsmen to-bear art
σὺν οὐδεμιᾷ τέχνῃ βαρβαρικῇ δὲ ἐπινοίᾳ σχεδιασθέντα.
with no art barbarian and by-device improvised
μείνας δὲ αὐτὸς ἐπὶ τῆς χέρσου κοινωνήσειν ὅσον 21.3
having-stayed and himself on the land to-share all-but
οὐδέπω τῆς νίκης ἤλπισεν, ὡς οὐδαμοῦ τῶν Ῥωμαίων
now in-the victory he-hoped as nowhere the Romans
αὐτοῖς ἀξιομάχων φανησομένων. τοῦτο οὐκ ἔλαθε τὴν
for-them a-match-in-battle going-to-appear this not escaped the
τοῦ στρατηγοῦ τῶν Ῥωμαίων ἀγχίνοιαν, ἀλλὰ τὸ
of-the general of-the Romans sagacity but the(-thing)
ἐγχειρούμενον τεκμηράμενος βραχὺ τῆς γῆς ποιεῖ
being-attempted having-conjectured short from-the land he-makes
προελθεῖν τὰς ναῦς, ὡς δὲ εἶδε τὰς τῶν βαρβάρων
to-go-forward the ships as and he-saw the of-the barbarians
σχεδίας πρὸς τὸ τῷ ῥεύματι δοκοῦν φερομένας,
rafts to the(-direction) to-the current seeming being-borne

αὐτὸς πρότερον ἐπεφέρετο τῷ κατὰ πρώτην τάξιν
he-himself first bore-down on-the in first rank
ἀπαντήσαντι ξύλῳ· πλοῖον δὲ χαλκέμβολον ἔχων ἐξ
meeting timber vessel and bronze-beaked having from
ὑπερδεξίων ἐπῄει, καὶ ὠθῶν ἅμα καὶ βελῶν ἀφέσει
above attacked and pushing at-once and by-missiles' letting-fly
τοὺς ἐμπλέοντας βάλλων αὔτανδρον καταδύει.
the(-ones) sailing-in striking crew-and-all sinks(-it)

21.4 θεασάμενοι δὲ τὸν στρατηγὸν οἱ τῶν ἄλλων νεῶν
having-seen and the general the of-the other ships
ἐπιβάται καὶ μιμησάμενοι τοὺς μὲν κατεκέντησαν, τοὺς
marines and having-imitated(-him) some indeed they-stabbed others
δὲ τῶν ξύλων ἐκπεσόντας εἶχεν ἡ θάλασσα, μηδενὸς
and from-the timbers having-fallen held the sea no-one
ὡς εἰπεῖν διαφυγεῖν τὸν θάνατον δυνηθέντος. ἐπὶ τούτῳ
so to-say to-escape the death having-been-able at this
βαρυνόμενος ὁ Γαΐνης τῷ ἐλαττώματι καὶ ἀπορῶν ἐπὶ
weighed-down — Gainas the defeat and being-at-a-loss at
τοσούτων συμμάχων ἀποβολῇ, ὀλίγον ἀναχωρήσας τῶν
so-many allies' loss a-little having-withdrawn from-the
ἐν Χερρονήσῳ τόπων ἐπὶ τὴν ἔξω Θράκην ἀπέτρεχε.
in Chersonese places to the outer Thrace ran-off
Φράουιττος δὲ διώκειν τέως οὐκ ἔγνω φεύγοντα τὸν
Fravitta and to-pursue for-a-while not resolved fleeing —
Γαΐνην, ἀλλὰ κατὰ χώραν τὴν δύναμιν ἀνελάμβανε, τῷ
Gainas but in place the force took-up with-the
δεδομένῳ παρὰ τῆς τύχης ἀρκούμενος προτερήματι.
given by the fortune being-content advantage

21.5 πάντων δὲ ὡς εἰπεῖν αἰτίας ἐπιφερόντων Φραουίττῳ,
all and so to-say blames bringing on-Fravitta
ὅτι διῶξαι φεύγοντα Γαΐνην οὐκ ἠθέλησεν, φεισαμένῳ δὲ
that to-pursue fleeing Gainas not he-had-wished having-spared and

ὡς ὁμοφύλων αὐτοῦ τε Γαΐνου καὶ τῶν ἅμα τούτῳ
as kinsmen himself both Gainas and of-the(-ones) with him
διαφυγόντων, οὐδὲν τοιοῦτον ἑαυτῷ συνεπιστάμενος ἐπανῄει
having-escaped nothing such with-himself being-conscious-of he-returned
πρὸς βασιλέα, μέγα φρονῶν ἐπὶ τῇ νίκῃ καὶ μετὰ παρρησίας
to the-emperor greatly being-proud at the victory and with frankness
τοῖς παρ᾽ αὐτοῦ τιμωμένοις θεοῖς ταύτην ἀνατιθείς· οὐδὲ γὰρ
to-the by him honored gods it attributing nor for
ᾐσχύνετο καὶ αὐτοῦ τοῦ βασιλέως ἀκούοντος ὁμολογεῖν
he-was-ashamed even himself the emperor hearing to-confess
ὅτι σέβοιτο καὶ τιμῴη θεοὺς κατὰ τὰ πάτρια καὶ οὐκ
that he-revered and honored gods according-to the ancestral(-ways) and not
ἀνέξεται κατὰ τοῦτο τοῖς ἀπὸ τοῦ πλήθους ἀκολουθῆσαι.
he-will-endure in this the(-ones) from the multitude to-follow
Φράουιττον μὲν οὖν ἀποδεξάμενος ὁ βασιλεὺς ὕπατον 21.6
Fravitta indeed then having-welcomed the emperor consul
εἶναι κατέστησε· Γαΐνης δὲ τὸ πολὺ τῆς δυνάμεως μέρος
to-be appointed Gainas and the great of-the force part
ἀποβαλὼν ᾗπερ εἴρηται, μετὰ τῶν λειπομένων
having-lost in-the-way-which has-been-said with the(-ones) remaining
ἐπὶ τὸν Ἴστρον ἀπέτρεχε, πεπορθημένην δὴ τὴν Θρᾴκην
to the Ister ran-off ravaged indeed — Thrace
ἐκ τῶν προλαβουσῶν ἐφόδων εὑρών, τὰ δὲ
from the preceding attacks having-found the(-things) and
ἐν ποσὶ λῃζόμενος. δεδιὼς δὲ μή ποτε στρατόπεδον
at feet plundering fearing and lest ever army
ἕτερον Ῥωμαϊκὸν ἐπακολουθῆσαν ἐπίθοιτο τοῖς σὺν αὐτῷ
another Roman having-followed should-attack the with him
βαρβάροις οὐ πολλοῖς οὖσιν, οὐκ ἔξω δὲ ὑποψίας
barbarians not many being not outside and suspicion
ἔχων τοὺς ἑπομένους αὐτῷ Ῥωμαίους, ἐκείνους μὲν οὐ
holding the following him Romans those indeed not

προϊδομένους τὸ βούλευμα πάντας ἀπέκτεινεν, ἅμα
foreseeing the plan all he-killed together-with
δὲ τοῖς βαρβάροις ἐπεραιώθη τὸν Ἴστρον, εἰς τὰ οἰκεῖα
and the barbarians crossed the Ister to the homes
ἐπανελθεῖν διανοούμενος, αὐτόθι δὲ τοῦ λοιποῦ βιοτεύειν.
to-return intending there and for-the rest to-live

22.1 Ἀλλ᾽ ὁ μὲν Γαΐνης ἐν τούτοις ἦν· Οὔλδης δὲ ὁ
but — indeed Gainas in these-things was Uldes and the(-one)
τὴν Οὔννων ἔχων κατ᾽ ἐκείνους τοὺς χρόνους ἡγεμονίαν,
the of-Huns holding in those the times command
οὐκ ἀσφαλὲς ἡγησάμενος εἶναι βαρβάρῳ στρατόπεδον
not safe having-thought to-be for-a-barbarian army
οἰκεῖον ἔχοντι συγχωρῆσαι πέραν τοῦ Ἴστρου τὴν οἴκησιν
own having to-allow beyond the Ister the dwelling
ἔχειν, ἅμα δὲ καὶ τῷ Ῥωμαίων οἰόμενος βασιλεῖ
to-have at-once and also the of-Romans thinking emperor
χαριεῖσθαι τοῦτον ἀποδιώκων, εἰς μάχην αὐτῷ καταστῆναι
to-gratify this-one driving-off for battle with-him to-engage
παρεσκευάζετο καὶ συναγαγὼν τὴν δύναμιν ἀντετάττετο.
prepared and having-gathered the force drew-up-opposite

22.2 καὶ Γαΐνης δὲ οὔτε πρὸς Ῥωμαίους ἐπανελθεῖν ἔτι
and Gainas too neither to Romans to-return any-longer
δυνάμενος οὔτε ἄλλως τὴν ἀπειλουμένην ἔφοδον διαφυγεῖν,
being-able nor otherwise the threatened attack to-escape
ὁπλίσας τοὺς σὺν αὐτῷ τοῖς Οὔννοις ἀπήντα.
having-armed the(-ones) with him the Huns went-to-meet
συμπλακέντων δὲ τῶν στρατοπέδων οὐχ ἅπαξ ἀλλὰ καὶ
having-engaged and the armies not once but also
πολλάκις ἀλλήλοις, ἀντέσχε μὲν εἴς τινας μάχας ἡ
often with-one-another held-out indeed into some battles the

Γαΐνου μερίς, ἐπεὶ δὲ πολλοί τε ἐξ αὐτῶν ἔπεσον, ἀνῃρέθη
of-Gainas side when and many both of them fell was-killed
καὶ αὐτὸς Γαΐνης, καρτερῶς καὶ γενναίως ἀγωνισάμενος.
also himself Gainas stoutly and nobly having-fought
Τοῦ πολέμου τῇ Γαΐνου τελευτῇ πέρας λαβόντος, Οὔλδης 22.3
the war by-the of-Gainas death end having-received Uldes
ὁ τῶν Οὔννων ἡγούμενος τὴν τούτου κεφαλὴν Ἀρκαδίῳ τῷ
the of-the Huns leader the his head to-Arcadius the
βασιλεῖ πέμψας δωρεῶν ἠξιοῦτο καὶ ἐπὶ τούτοις σπονδὰς
emperor having-sent of-gifts was-deemed-worthy and on these treaty
πρὸς Ῥωμαίους ἐτίθετο. τῶν δὲ πραγμάτων σὺν οὐδενὶ
with Romans made the and affairs with no
λόγῳ φερομένων οἷα τοῦ βασιλέως φρονήσεως ἐστερημένου,
reason being-borne as the emperor of-prudence deprived
τὰ ἐν τῇ Θρᾴκῃ συνεταράττετο· φυγάδες γὰρ οἰκέται
the(-places) in — Thrace were-thrown-into-confusion fugitive for slaves
καὶ ἄλλως τὰς τάξεις ἀπολιπόντες, Οὔννους ἑαυτοὺς εἰπόντες
and otherwise the ranks having-left Huns themselves having-said
εἶναι, τὰ ἐν τοῖς ὑπαίθροις διήρπαζον, ἕως ὁ Φράουιττος
to-be the(-things) in the open-country plundered until — Fravitta
ἐπιστρατεύσας, καὶ ὅσοις ἐνέτυχεν ἀνελών, ἔξω φόβου
having-campaigned and as-many-as he-came-upon having-killed outside fear
πεποίηκε τοὺς οἰκήτορας *** λίαν ἔγνωκε διαβῆναι,
has-made the inhabitants (lacuna) very he-resolved to-cross
δεδιότες μή ποτε κακῶς διατεθεῖεν τούτῳ περιπεσόντες,
fearing lest ever badly they-should-be-treated into-this having-fallen
ἀπέβησαν τῆς νεὼς ἐν τοῖς περὶ τὴν Ἤπειρον τόποις, καὶ
they-disembarked from-the ship in the about — Epirus places and
περὶ τῆς σφῶν βουλευόμενοι σωτηρίας (ἐποίει γὰρ αὐτοῖς
about the their deliberating safety made for to-them

ταύτην ἐπισφαλῆ τὸ τοῦ πλημμελήματος ὑπερβάλλον)
this insecure the of-the offense excess
καιρὸν δεδώκασι τοῖς παρ᾽ αὐτῶν φυλαττομένοις φυγῆς.
opportunity they-have-given to-the(-ones) by them guarded of-flight

XII · JOHN CHRYSOSTOM, AND RADAGAISUS

The exiles return unexpectedly to Constantinople, and the empress, long angered by John the bishop's sermons, sets the bishops, Theophilus of Alexandria at their head, against him; John withdraws before the verdict. The monks who seize the church are massacred. John returns and stirs the city again; informers flourish and the eunuchs rule. When John leaves by ship, his partisans burn the church, and the fire spreads to the senate house, destroying the statues of the Muses from Helicon, though those of Zeus and Athena survive. The Isaurians raid Pamphylia and Cilicia; Arbazacius drives them back but takes their money. Alaric waits in Epirus for Stilicho's signal to take Illyricum for Honorius, when Radagaisus brings four hundred thousand Celts and Germans into Italy, and Stilicho falls on them and destroys almost all of them.

23.1 ἕτεροι δέ φασιν ὡς χρημάτων αὐτοῖς τὴν ἄφεσιν
others and say that for-money to-them the release
ἐφιλοτιμήσαντο.
they-bestowed

23.2 οἳ δέ, ὅπως ποτὲ διέφυγον, ἐπὶ τὴν Κωνσταντινούπολιν
they and how ever they-escaped to — Constantinople
ἐπανελθόντες παρὰ πᾶσαν ἐλπίδα τῷ τε βασιλεῖ καὶ τῇ
having-returned beyond all hope to-the both emperor and to-the
γερουσίᾳ καὶ πᾶσι τοῖς ἄλλοις ἐφάνησαν. ἐντεῦθεν ηὐξήθη
senate and to-all the others appeared from-then grew
τῇ συνοικούσῃ τῷ βασιλεῖ τὸ κατὰ Ἰωάννου τοῦ
to-the(-woman) living-with the emperor the against John the
τῶν Χριστιανῶν ἐπισκόπου μῖσος, χαλεπαινούσῃ πρότερον
of-the Christians bishop hatred being-angry before

μὲν αὐτῷ κωμῳδεῖν εἰωθότι κατὰ τὰς συνόδους αὐτὴν
indeed with-him to-ridicule accustomed in the gatherings her
ἐν ταῖς πρὸς τὸ πλῆθος ὁμιλίαις· τότε δέ, μετὰ τὴν
in the to the multitude homilies then and after the
Ἰωάννου καὶ τῶν ἄλλων ἐπάνοδον, εἰς τὴν κατ' αὐτοῦ
of-John and of-the others return into the against him
δυσμένειαν ἐμφανῶς ἐξανέστη.
hostility openly she-rose-up

πράττουσα δὲ πάντα κατ' ἐξουσίαν ἐκίνει τοὺς πανταχόθεν 23.3
doing and all-things at will she-moved the from-everywhere
ἐπισκόπους εἰς τὴν Ἰωάννου καθαίρεσιν, ὧν ἦν πρῶτος καὶ
bishops to the of-John deposition of-whom was first and
κορυφαῖος ὁ τῆς Ἀλεξανδρείας τῆς ἐν Αἰγύπτῳ Θεόφιλος,
chief the — of-Alexandria the in Egypt Theophilus
ὁ πρῶτος ἀρξάμενος τῆς κατὰ τῶν ἱερῶν καὶ τῶν ἐξ
the(-one) first having-begun of-the against the temples and the from
αἰῶνος πατρίων ἐπιβουλῆς. προτεθείσης δὲ κρίσεως, ὁρῶν
all-time ancestral(-rites) plot having-been-proposed and trial seeing
ὁ Ἰωάννης οὐκ ἐξ ἴσης αὑτῷ τὰ πράγματα προβαίνοντα
— John not on equal for-himself the affairs proceeding
ψήφου τῆς Κωνσταντινουπόλεως ἑκὼν ἀνεχώρει.
vote — from-Constantinople willingly withdrew

τοῦ δὲ πλήθους ἐπὶ τούτῳ συνταραχθέντος (ἦν 23.4
the and multitude at this having-been-thrown-into-confusion was
γὰρ ὁ ἄνθρωπος ἄλογον ὄχλον ὑπαγαγέσθαι δεινὸς)
for the man an-irrational crowd to-win-over clever
θορύβου μὲν ἦν πλήρης ἡ πόλις, ἀπείληπτο δὲ ἡ τῶν
with-uproar indeed was full the city had-been-seized and the of-the
Χριστιανῶν ἐκκλησία ὑπὸ τῶν λεγομένων μοναχῶν. οὗτοι
Christians church by the called monks these
δὲ γάμοις τοῖς κατὰ νόμον ἀπαγορεύουσι, συστήματα
and marriages the(-ones) according-to law renounce communities

δὲ πολυάνθρωπα κατὰ πόλεις καὶ κώμας πληροῦσιν
and populous in cities and villages fill
ἀνθρώπων ἀγάμων, οὔτε πρὸς πόλεμον οὔτε πρὸς ἄλλην
of-men unmarried neither for war nor for other
τινὰ χρείαν ἀναγκαίαν τῇ πολιτείᾳ, πλὴν ὅτι προϊόντες
any need necessary to-the state except that advancing
ὁδῷ μέχρι τοῦ νῦν ἐξ ἐκείνου τὸ πολὺ μέρος τῆς
on-the-road up-to the now from that-time the great part of-the
γῆς ᾠκειώσαντο, προφάσει τοῦ μεταδιδόναι πάντων
land they-have-appropriated on-pretext of-the to-give-a-share of-all
πτωχοῖς πάντας ὡς εἰπεῖν πτωχοὺς καταστήσαντες.
to-the-poor all so to-say poor having-made
23.5 οὗτοι δὲ τὰς ἐκκλησίας ἀπολαβόντες ἐκώλυον τὰ πλήθη
these and the churches having-seized prevented the multitudes
ταῖς συνήθεσιν εὐχαῖς προσιέναι. πρὸς ὃ δυσχεραίνοντες
to-the customary prayers to-approach at which being-vexed
δημοτικοί τε ὁμοῦ καὶ στρατιῶται τὴν τῶν μοναχῶν ᾔτουν
people both together and soldiers the of-the monks asked
ἀνακόψαι θρασύτητα. δοθέντος δὲ αὐτοῖς ἐπὶ τοῦτο
to-check insolence having-been-given and to-them for this
συνθήματος ἐχώρουν ἀνέδην καὶ σὺν οὐδεμιᾷ κρίσει
signal went unrestrained and with no discrimination
πάντας ἀπέσφαττον, ἕως τὴν μὲν ἐκκλησίαν ἐπλήρωσαν
all slaughtered until the indeed church they-filled
νεκρῶν, τοὺς δὲ ἀποδράντας διώξαντες κατεκέντησαν
with-corpses the(-ones) and having-fled having-pursued stabbed
ἅπαντας ὅσοι φαιαῖς ἔτυχον ἐσθῆσιν ἠμφιεσμένοι·
all as-many-as in-gray happened in-clothes clothed
23.6 οἷς συναπολέσθαι συνέβη πολλοὺς ἢ διὰ πένθος
with-whom to-perish-with it-happened many either because-of mourning
ἢ διά τινα ἑτέραν περιπέτειαν ἐν ἱματίοις εὑρεθέντας
or because-of some other mischance in garments found

τοιούτοις. Ἰωάννης δὲ αὖθις ἐπανελθὼν τῶν αὐτῶν
such John and again having-returned the same-things
ἐπειρᾶτο, τοὺς ὁμοίους ἀνακινῶν ἐν τῇ πόλει θορύβους.
attempted the like stirring-up in the city uproars
Τὸ δὲ τῶν συκοφαντῶν ὡς οὔπω πρότερον ἐπιπολάσαν καὶ 24.1
the and of-the informers as never before having-prevailed and
τοὺς περὶ τὴν αὐλὴν εὐνούχους ἀεὶ περιέπον, εἴ πού τις
the about the court eunuchs always surrounding if anywhere any
τῶν πλουσίων ἀπέθανεν, ὡς οὐκ ὄντων παίδων ἢ συγγενῶν
of-the rich died as not being children or kin
ἐμήνυον τὰς οὐσίας, καὶ τοῦ βασιλέως ἐφέρετο γράμματα
they-denounced the properties and of-the emperor were-brought letters
τοῦδε τὴν οὐσίαν τῷδε παραδοθῆναι κελεύοντα, καὶ
of-this-man the property to-this-man to-be-handed-over ordering and
παρεδίδοντο τοῖς ᾐτηκόσιν οἱ κλῆροι παίδων ἑστώτων
were-handed-over to-the(-ones) having-asked the inheritances children standing-by
καὶ τοὺς πατέρας μετὰ οἰμωγῆς ἀνακαλουμένων.
and the fathers with wailing calling-upon
καὶ ἁπλῶς οὐδὲν ἦν ὃ μὴ θρήνων ἐπλήρου τὰς 24.2
and simply nothing there-was which not with-laments filled the
πόλεις, παντὶ τῶν οἰκητόρων ἄλογον ζημίαν ἐπάγον· τοῦ
cities on-every of-the inhabitants irrational loss bringing the
γὰρ βασιλεύοντος ἐσχάτως ἀνοηταίνοντος, ἡ τούτῳ
for reigning(-emperor) utterly being-foolish the(-woman) with-him
συνοικοῦσα πέρα τῆς φύσεως αὐθαδιζομένη, πανταχόθεν
living beyond the nature being-headstrong from-all-sides
τε εὐνούχων ἀπληστίᾳ καὶ τῶν περὶ αὐτὴν γυναικῶν,
both of-eunuchs to-insatiability and of-the about her women
αἳ μάλιστα ταύτης ἐκράτουν, ἐκδεδομένη, πᾶσιν ἀβίωτον
who most her mastered given-over for-all unlivable

καθίστη τὸν βίον, ὥστε θανάτου τοῖς μέτρια φρονοῦσιν
made the life so-that than-death to-the(-ones) moderately minded
οὐδὲν ἦν αἱρετώτερον.
nothing was more-choiceworthy

24.3 ὡς οὐκ ἀρκούντων δὲ τούτων, ἐπηνέχθη τῇ
as not sufficing and these was-brought —
Κωνσταντινουπόλει πάσης ὑπερβολῆς ἐπέκεινα κίνδυνος
on-Constantinople of-all excess beyond danger
ἔκ τινος τοιαύτης αἰτίας. Ἰωάννης, ᾗπερ εἴρηταί
from some such cause John in-the-way-which has-been-said
μοι, μετὰ τὴν φυγὴν ἐπανελθὼν καὶ τοῖς συνήθεσιν
by-me after the flight having-returned and in-the customary
ἱεροῖς σοβῶν κατὰ τῆς βασιλίδος τὸ πλῆθος, ἐπειδὴ καὶ
rites inciting against the empress the multitude since also
τοῦ θρόνου τῆς ἐπισκοπῆς ἑώρα καὶ τῆς πόλεως
from-the throne of-the episcopate he-saw and from-the city
ἑαυτὸν ἐξωθούμενον, αὐτὸς μὲν ἀπέλιπε τὴν πόλιν νεὼς
himself being-thrust he-himself indeed left the city ship
ἐπιβάς, οἱ δὲ τούτῳ σπουδάζοντες, μηδένα μετὰ
having-boarded the(-ones) and for-him zealous no-one after
τοῦτον ἐπίσκοπον γενέσθαι τῇ πόλει πραγματευόμενοι,
this-man bishop to-become for-the city contriving
πυρὶ τὴν πόλιν ἔγνωσαν ἀπολέσαι.
by-fire the city resolved to-destroy

24.4 λάθρᾳ τοίνυν φλόγα τῇ ἐκκλησίᾳ νυκτὸς ἐμβαλόντες,
secretly therefore flame into-the church by-night having-cast
καὶ περὶ τὸν ὄρθρον ἔξω καταστήσαντες ἑαυτούς, καὶ
and about the dawn outside having-put themselves and
τούτῳ λαθόντες οἵ τινές ποτε εἶεν, ἡμέρας γενομένης
in-this having-escaped-notice who ever at-all they-were day having-come
ἐσχάτως ἤδη τὴν πόλιν ἅπασιν ἔδειξαν κινδυνεύουσαν·
utterly already the city to-all showed being-in-danger

ἥ τε γὰρ ἐκκλησία κατεφλέγετο πᾶσα, συνεδαπανᾶτο δὲ
the and for church was-burned-down all was-consumed-with and
ταύτῃ καὶ τὰ ἐχόμενα τῶν οἰκοδομημάτων, καὶ μάλιστα
with-it also the(-parts) adjoining of-the buildings and most
ὅσοις τὸ πῦρ ἐπῆγεν ἡ τοῦ γενομένου πνεύματος καταιγίς.
as-many-as the fire brought-to the of-the having-arisen wind gust
ἐνέπεσε δὲ τὸ πῦρ καὶ εἰς τὸν εἰωθότα δέχεσθαι 24.5
fell and the fire also on the accustomed to-receive
τὴν γερουσίαν οἶκον, πρὸ τῶν βασιλείων ὄντα, εἰς
the senate building before the palace being to
πᾶν κάλλος καὶ φιλοτιμίαν ἐξησκημένον· ἀγάλμασι γὰρ
all beauty and magnificence adorned with-statues for
κεκαλλώπιστο τεχνιτῶν τὸ ἀξιοπρεπὲς ἐξ αὐτῆς τῆς
it-had-been-beautified of-artists the dignity from itself the
θέας παρεχομένοις, καὶ μαρμάρων χροιαῖς αἳ κατὰ τοὺς
sight furnishing and of-marbles with-colors which in the
νῦν οὐ μεταλλεύονται χρόνους.
now not are-quarried times
φασὶ δὲ ὡς καὶ τὰ δείκηλα τὰ ἐν τῷ Ἑλικῶνι τὴν 24.6
they-say and that also the images the(-ones) on the Helicon at-the
ἀρχὴν καθιδρυθέντα ταῖς Μούσαις, μέρος καὶ αὐτὰ τῆς
beginning set-up for-the Muses part also themselves of-the
κατὰ πάντων ἱεροσυλίας ἐν τοῖς Κωνσταντίνου γενόμενα
against all sacrilege in the of-Constantine having-become
χρόνοις, ἀνατεθέντα τούτῳ τῷ τόπῳ τῇ διὰ τοῦ πυρὸς
times dedicated in-this the place to-the through the fire
ὑπήχθη διαφθορᾷ, σαφέστερόν πως τὴν καθέξουσαν
were-brought destruction more-clearly somehow the going-to-possess
ἅπαντας ἀμουσίαν μηνύοντα. θαύματος δέ τινος τηνικαῦτα
all lack-of-the-Muses showing of-wonder and some at-that-time
γενομένου ἄξιον οὐ προσήκει παραδραμεῖν σιωπῇ.
having-happened worthy not it-is-fitting to-pass-by in-silence

24.7 τοῦτο τῆς γερουσίας τὸ τέμενος, οὗπερ ἕνεκα ταῦτα
this of-the senate the precinct of-which-very for-the-sake these-things
διέξειμι, Διὸς καὶ Ἀθηνᾶς ἀγάλματα πρὸ τῶν θυρῶν
I-relate of-Zeus and Athena statues before the doors
εἶχεν, ἐπί τινων βάσεων λιθίνων ἑστῶτα, καθ' ὃ καὶ
had on some bases of-stone standing in which also
νῦν ἔστιν αὐτὰ θεάσασθαι σχῆμα· φασὶ δὲ τὸ μὲν τοῦ
now it-is-possible them to-see posture they-say and the indeed —
Διὸς εἶναι τοῦ Δωδωναίου, τὸ δὲ τὸ ἐν τῇ Λίνδῳ
of-Zeus to-be of-the Dodonaean the(-other) and the(-one) in — Lindus
πάλαι καθιδρυμένον. τοῦ πυρὸς τοίνυν ἐπινεμηθέντος ἅπαν
long-ago set-up the fire therefore having-spread-over all
τὸ τέμενος, ὁ μὲν ἐπικείμενος τῷ τέγει μόλιβδος ἔρρει
the precinct the indeed lying-on the roof lead flowed
τηκόμενος κατὰ τῶν ἀγαλμάτων, ἐφέροντο δὲ καὶ οἱ
melting down-on the statues were-borne and also the
τῆς οἰκοδομίας λίθοι κατὰ τούτων, ἀντέχειν τῇ τοῦ
of-the building stones down-on these to-withstand the of-the
πυρὸς φύσει μὴ δυνηθέντες.
fire nature not having-been-able

24.8 εἰς χώματος δὲ σχῆμα τοῦ παντὸς κάλλους μεταβληθέντος,
into of-a-heap and form the whole beauty having-been-changed
ἡ μὲν κοινὴ δόξα καὶ ταῦτα ἐτόπαζε κόνιν καὶ αὐτὰ
the indeed common opinion also these guessed dust also them
γενέσθαι, καθαιρόμενος δὲ ὁ τόπος καὶ πρὸς ἀνανέωσιν
to-have-become being-cleared and the place and for renewal
γενόμενος εὐτρεπὴς ἔδειξε τὰ τῶν θεῶν τούτων ἀγάλματα
having-become ready showed the of-the gods these statues
μόνα κρείττονα τῆς παντελοῦς ἐκείνης γεγονότα φθορᾶς·
alone superior to-the total that having-become destruction
ὅπερ ἅπασι τοῖς χαριεστέροις ἀμείνους ἐπὶ τῇ πόλει
which to-all the more-refined better about the city

δέδωκεν ἔχειν ἐλπίδας, ὡς δὴ τῶν θεῶν τούτων ἔχεσθαι
has-given to-have hopes as indeed the gods these to-hold-to
τῆς ὑπὲρ αὐτῆς ἀεὶ βουλομένων προνοίας. ἀλλὰ ταῦτα
the for it always wishing providence but these-things
μέν, ὅπῃ τῷ θείῳ δοκεῖ, πάντα προΐτω.
indeed as to-the divine(-power) seems-good all-things let-proceed

Πάντων δὲ δυσχεραινόντων ἐπὶ τῇ τῆς πόλεως συμφορᾷ 25.1
all and being-vexed at the of-the city calamity
καὶ αἰτίαν οὐκ ἄλλην ἢ τὴν ὄνου λεγομένην σκιὰν
and cause not other than the of-an-ass called shadow
εὑρισκόντων, ἐγίνοντο μὲν οἱ περὶ τὸν βασιλέα τῆς
finding were indeed the(-ones) about the emperor about-the
τῶν ἐφθαρμένων ἀνανεώσεως, ἠγγέλθη δὲ τοῖς
of-the(-things) destroyed renewal it-was-reported and to-the(-ones)
περὶ τὴν αὐλὴν ὡς τὸ τῶν Ἰσαύρων πλῆθος, ὑπερκείμενον
about the court that the of-the Isaurians multitude lying-beyond
Παμφυλίας καὶ Κιλικίας, ἐν τοῖς ἀβάτοις τοῦ Ταύρου καὶ
Pamphylia and Cilicia in the impassable(-parts) of-the Taurus and
τραχυτάτοις ὄρεσιν ἀεὶ βιοτεῦον, εἰς τάγματα διανεμηθὲν
most-rugged mountains always living into bands distributed
λῃστικὰ τὴν ὑποκειμένην ἐπέρχεται χώραν, πόλεσι μὲν
robber the lying-below attacks country cities indeed
τετειχισμέναις προσάγειν οὔπω δυνάμενοι, κώμας δὲ
walled to-assault not-yet being-able villages and
ἀτειχίστους καὶ πάντα τὰ ἐν ποσὶν ἐπέτρεχον.
unwalled and all the(-things) at feet they-overran

ἐποίει δὲ ῥᾳδίας αὐτοῖς τὰς ἐπιδρομὰς ἡ προλαβοῦσα 25.2
made and easy for-them the raids the preceding
τῆς χώρας ἐκείνης ἅλωσις, ἣν ἡ Τριβιγίλδου καὶ τῶν
of-the country that capture which the of-Tribigild and of-the
σὺν αὐτῷ βαρβάρων πεποίηκεν ἐπανάστασις. τούτων
with him barbarians has-made revolt these-things

ἀπαγγελθέντων Ἀρβαζάκιος ἐκπέμπεται στρατηγὸς ὡς
having-been-reported Arbazacius is-sent-out general as
δὴ τοῖς ἐν Παμφυλίᾳ πράγμασι πονοῦσιν ἐπικουρήσων.
indeed to-the in Pamphylia affairs suffering going-to-help
δύναμιν δὲ ἀρκοῦσαν λαβών, καὶ τοὺς λῃστεύοντας
force and sufficient having-taken and the(-men) robbing
ἐν τοῖς ὄρεσι συμφυγόντας ἐπιδιώξας, κώμας τε αὐτῶν
in the mountains having-fled-together having-pursued villages both of-them
εἷλε πολλὰς καὶ ἀνδρῶν οὐκ ὀλίγον ἀπέσφαξε πλῆθος.
he-took many and of-men not small slaughtered multitude
25.3 ῥᾳστά τε ἂν τέλεον ἐκράτησεν αὐτῶν καὶ τελείαν
most-easily both — completely would-have-mastered them and complete
τοῖς οἰκοῦσι τὰς πόλεις ἀσφάλειαν ἐνεποίησεν, εἰ
for-the(-ones) inhabiting the cities security would-have-created if
μὴ τρυφῇ καὶ ἀτόποις ἐγκείμενος ἡδοναῖς ἐχάλασε μὲν
not to-luxury and to-absurd devoted pleasures he-had-slackened indeed
πολὺ τῆς σφοδρότητος, χρήμασι δὲ τὰς χεῖρας ὑποσχὼν
much of-the vehemence to-money and the hands having-held-out
τῆς κοινῆς ὠφελείας τὸ πλουτεῖν ἔμπροσθεν ἐποιήσατο.
the common benefit the to-be-rich before he-made
τῆς μὲν οὖν προδοσίας ἕνεκα ταύτης μετάπεμπτος εἰς
of-the indeed then betrayal for-the-sake-of this summoned to
τὰ βασίλεια γενόμενος εἰς κρίσιν προσεδοκᾶτο καθίστασθαι·
the palace having-become into trial he-was-expected to-be-put
25.4 μέρος δὲ ὧν εἰλήφει παρὰ τῶν Ἰσαύρων τῇ βασιλίδι
part and of-what he-had-received from the Isaurians to-the empress
προσαγαγὼν τήν τε κρίσιν διέφυγε καὶ τὸν πλοῦτον περὶ
having-brought the both trial escaped and the wealth on
τὴν ἐνθάδε τρυφὴν ἐδαπάνα.
the here luxury spent

τὰ μὲν οὖν τῶν Ἰσαύρων ἐν λαθραίαις ἦν ἔτι 26.1
the(-affairs) indeed then of-the Isaurians in secret were still
λῃστείαις, οὔπω πρὸς φανερὰν ἐπανάστασιν κατὰ τῶν
robberies not-yet into open revolt against the
πλησιαζόντων ἐθνῶν ἀναστάντα *** Πᾶσαν δὲ τὴν
neighboring peoples having-risen (lacuna) all and —
Ἑλλάδα λῃσάμενος Ἀλάριχος ἀνεχώρησεν, ᾗ προείρηταί
Greece having-plundered Alaric withdrew as has-been-said-before
μοι, τῆς τε Πελοποννήσου καὶ τῆς ἄλλης ὁπόσην ὁ
by-me from-the both Peloponnese and of-the other as-much-as the
Ἀχελῷος ποταμὸς διαρρεῖ, διατρίβων δὲ ἐν ταῖς Ἠπείροις,
Achelous river flows-through staying and in the Epiruses
ἣν οἰκοῦσι Μολοττοί τε καὶ Θεσπρωτοὶ καὶ ὅσοι
which inhabit Molossians both and Thesprotians and as-many-as
τὰ μέχρις Ἐπιδάμνου καὶ Ταυλαντίων οἰκοῦσι χωρία, τὸ
the up-to Epidamnus and Taulantii inhabit places the
παρὰ Στελίχωνος ἀνέμενε σύνθημα τοιόνδε πως ὄν.
from Stilicho awaited signal such somehow being
τοὺς τὴν Ἀρκαδίου βασιλείαν οἰκονομοῦντας ὁρῶν 26.2
the(-ones) the of-Arcadius rule managing seeing
ὁ Στελίχων ἀλλοτρίως πρὸς αὑτὸν ἔχοντας διενοεῖτο,
— Stilicho as-strangers toward himself being intended
κοινωνῷ χρησάμενος Ἀλλαρίχῳ, τῇ Ὁνωρίου βασιλείᾳ
as-partner having-used Alaric to-the of-Honorius rule
τὰ ἐν Ἰλλυριοῖς ἔθνη πάντα προσθεῖναι, συνθήκας τε
the in Illyricum peoples all to-add agreements and
περὶ τούτου πρὸς αὐτὸν ποιησάμενος εἰς ἔργον ἄγειν
about this with him having-made into deed to-bring
ὅσον οὐδέπω τὴν ἐπιχείρησιν προσεδόκα.
all-but now the undertaking he-expected

26.3 προσδεχομένου δὲ Ἀλλαρίχου τῷ παραγγέλματι
expecting and Alaric the order
πειθαρχήσειν, Ῥοδογάϊσος ἐκ τῶν ὑπὲρ τὸν Ἴστρον καὶ τὸν
to-obey Radagaisus from the beyond the Ister and the
Ῥῆνον Κελτικῶν τε καὶ Γερμανικῶν ἐθνῶν ἐς τεσσαράκοντα
Rhine Celtic both and German peoples to forty
συναγαγὼν μυριάδας εἰς τὴν Ἰταλίαν ὥρμητο διαβῆναι.
having-gathered ten-thousands into — Italy hastened to-cross
26.4 οὗ προσαγγελθέντος ἡ μὲν πρώτη πάντας κατέπληξεν
which having-been-reported the indeed first all astonished
ἀκοή· τῶν δὲ πόλεων ταῖς ἐλπίσιν ἀπεγνωκότων,
news the and cities in-the hopes having-despaired
καὶ αὐτῆς δὲ τῆς Ῥώμης εἰς ἔσχατον οὔσης κινδύνου
and itself too — Rome into utmost being danger
συνταραχθείσης, ἀναλαβὼν ὁ Στελίχων ἅπαν τὸ ἐν τῷ
thrown-into-confusion having-taken-up — Stilicho all the at —
Τικήνῳ τῆς Λιγυστικῆς ἐνιδρυμένον στρατόπεδον (ἦν
Ticinum — of-Liguria stationed army it-was
δὲ εἰς ἀριθμοὺς συνειλεγμένον τριάκοντα) καὶ ὅσον
and into units collected thirty and as-much-as
οἷός τε γέγονε συμμαχικὸν ἐξ Ἀλανῶν καὶ Οὔννων
able — he-became allied(-force) from Alans and Huns
περιποιήσασθαι, τὴν ἔφοδον τῶν πολεμίων οὐκ ἀναμείνας
to-procure the attack of-the enemies not having-awaited
αὐτὸς ἐπεραιώθη τὸν Ἴστρον ἅμα παντὶ τῷ στρατεύματι,
himself crossed the Ister with all the army
καὶ τοῖς βαρβάροις ἀπροσδοκήτοις ἐπιπεσὼν ἅπαν τὸ
and on-the barbarians unexpecting having-fallen all the
πολέμιον πανωλεθρίᾳ διέφθειρεν, ὥστε μηδένα σχεδὸν
hostile(-force) with-utter-destruction destroyed so-that no-one almost

ἐκ τούτων περισωθῆναι, πλὴν ἐλαχίστους ὅσους αὐτὸς
of these to-be-saved except very-few as-many-as he-himself
τῇ Ῥωμαίων προσέθηκεν συμμαχίᾳ.
to-the of-Romans added alliance
ἐπὶ ταύτῃ μέγα φρονῶν ὁ Στελίχων εἰκότως τῇ νίκῃ, μετὰ 26.5
at this greatly being-proud — Stilicho naturally the victory with
τοῦ στρατοπέδου παρὰ πάντων ὡς εἰπεῖν στεφανούμενος
the army by all so to-say being-crowned
ἐπανῄει, παρὰ πᾶσαν ἐλπίδα τῶν προσδοκηθέντων
returned beyond all hope from-the expected
κινδύνων τὴν Ἰταλίαν ἐλευθερώσας.
dangers — Italy having-freed

XIII · ALARIC DEMANDS PAYMENT, AND STILICHO FALLS

Zosimus describes Ravenna. Stilicho's plan to take Illyricum with Alaric is stopped by news of the usurper Constantine. Alaric demands money, and the senate, fearing Stilicho, votes him four thousand pounds of gold, which Lampadius calls servitude. When Arcadius dies, Olympius persuades Honorius that Stilicho means to put Eucherius on the eastern throne. The troops mutiny at Ticinum; Stilicho flees to a church at Ravenna, leaves it on a sworn promise, and is put to death.

Ἐν δὲ τῇ Ῥαβέννῃ (μητρόπολις δὲ Φλαμινίας, πόλις 27.1
in and — Ravenna chief-city and of-Flaminia a-city
ἀρχαία, Θεσσαλῶν ἀποικία, Ῥήνη κληθεῖσα διὰ τὸ
ancient of-Thessalians a-colony Rhene called because-of the
πανταχόθεν ὕδασι περιρρεῖσθαι, καὶ οὐχ ὡς Ὀλυμπιόδωρος
from-all-sides by-waters to-be-flowed-around and not as Olympiodorus
ὁ Θηβαῖός φησι, διὰ τὸ Ῥῶμον, ὃς ἀδελφὸς γέγονε
the Theban says because-of the Remus who brother became
Ῥωμύλῳ, τῆς πόλεως ταύτης οἰκιστὴν γεγονέναι·
to-Romulus of-the city this founder to-have-become

27.2 Κουαδράτῳ γάρ, οἶμαι, θετέον, ἐν τῇ κατὰ τὸν βασιλέα
to-Quadratus for I-think one-must-attribute in the about the emperor
Μάρκον ἱστορίᾳ τοῦτο περὶ τῆς πόλεως ταύτης διεξελθόντι)
Marcus history this about the city this having-related
ἐν τῇ Ῥαβέννῃ τοίνυν ταύτῃ παρασκευαζομένῳ Στελίχωνι
in — Ravenna therefore this preparing for-Stilicho
ταῖς Ἰλλυριῶν πόλεσι μετὰ στρατεύματος ἐπιστῆναι,
the of-Illyrians cities with army to-come-upon
καὶ σὺν Ἀλλαρίχῳ παρασπάσασθαι μὲν αὐτὰς Ἀρκαδίου
and with Alaric to-detach indeed them from-Arcadius
περιποιῆσαι δὲ τῇ Ὀνωρίου βασιλείᾳ, δύο κωλύματα
to-acquire and for-the of-Honorius rule two hindrances
συνέβη παρεμπεσεῖν, φήμη τε ὡς Ἀλλάριχος τεθνεὼς εἴη
happened to-fall-in a-report both that Alaric dead was
διαδραμοῦσα, καὶ ἐκ τῆς Ῥώμης Ὀνωρίου γράμματα τοῦ
having-spread and from — Rome of-Honorius letters the
βασιλέως ἀποδοθέντα, δι' ὧν ἐδηλοῦτο ὡς Κωνσταντῖνος
emperor delivered through which was-shown that Constantine
ἐπιθέμενος εἴη τυραννίδι καὶ ἐκ τῆς Βρεττανικῆς νήσου
having-attempted was tyranny and from the British island
περαιωθεὶς ἐν τοῖς ὑπὲρ τὰς Ἄλπεις ἔθνεσι παραγένοιτο,
having-crossed among the beyond the Alps peoples had-arrived
τὰ βασιλέως ἐν ταῖς πόλεσι πράττων.
the(-acts) of-an-emperor in the cities doing

27.3 ἀλλ' ὁ μὲν περὶ τῆς Ἀλλαρίχου τελευτῆς λόγος ἀμφίβολος
but the indeed about the of-Alaric death report doubtful
ἔδοξεν εἶναι, πρίν τινας παραγεγονότας ὅ τι περ εἴη
seemed to-be before some having-arrived what ever indeed it-was
δηλῶσαι· τὰ δὲ περὶ τῆς ἀναρρήσεως Κωνσταντίνου
to-make-clear the(-things) and about the proclamation of-Constantine
λεγόμενα παρὰ πᾶσιν ἐκράτει. διὰ ταῦτα τῆς ἐπὶ
said among all prevailed because-of these-things from-the against

Ἰλλυριοὺς ὁρμῆς ὁ Στελίχων ἀνακοπεὶς εἰς τὴν Ῥώμην
Illyrians impulse — Stilicho checked to — Rome
ἀφίκετο, κοινολογήσασθαι περὶ τοῦ πρακτέου βουλόμενος.
came to-confer about the to-be-done wishing
Τριβέντος δὲ τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος 28.1
having-been-spent and the autumn and the winter
ἐπιλαβόντος ὕπατοι μὲν ἀνεδείχθησαν Βάσσος καὶ
having-come-on consuls indeed were-proclaimed Bassus and
Φίλιππος, ὁ δὲ βασιλεὺς Ὁνώριος, οὐ πρὸ πολλοῦ Μαρίας
Philippus the and emperor Honorius not before long Maria
αὐτῷ τελευτησάσης τῆς γαμετῆς, τὴν ταύτης ἀδελφὴν
for-him having-died the wife the her sister
Θερμαντίαν ᾔτει οἱ δοθῆναι πρὸς γάμον. ἀλλ᾽ ὁ μὲν
Thermantia asked to-him to-be-given for marriage but — indeed
Στελίχων ∗∗∗ ἐνδώσειν πρὸς τοῦτο, Σερήνα δὲ ἐνέκειτο,
Stilicho (lacuna) to-yield to this Serena and pressed
πραχθῆναι βουλομένη τὸν γάμον τοιᾶσδε ἕνεκεν αἰτίας.
to-be-done wishing the marriage such for-the-sake-of cause
τοῦ γάμου τοῦ πρὸς Μαρίαν Ὁνωρίῳ συνισταμένου, γάμων 28.2
the marriage the to Maria with-Honorius being-arranged of-marriage
ὥραν οὔπω τὴν κόρην ἄγουσαν ἡ μήτηρ ὁρῶσα, καὶ οὔτε
the-season not-yet the girl reaching the mother seeing and neither
ἀναβαλέσθαι τὸν γάμον ἀνεχομένη, καὶ τὸ παρ᾽ ἡλικίαν εἰς
to-put-off the marriage enduring and the beyond age into
μῖξιν ἐκδοῦναι φύσεως ἀδικίαν καὶ οὐδὲν ἕτερον εἶναι ∗∗∗,
union to-give-away of-nature injustice also nothing else to-be (lacuna)
γυναικὶ τὰ τοιαῦτα θεραπεύειν ἐπισταμένῃ περιτυχοῦσα
with-a-woman the such-things to-treat knowing having-met-with
πράττει διὰ ταύτης τὸ συνεῖναι μὲν τὴν θυγατέρα τῷ
brings-about through her the to-be-with indeed the daughter with-the

βασιλεῖ καὶ ὁμόλεκτρον εἶναι, τὸν δὲ μήτε ἐθέλειν μήτε
emperor and bed-fellow to-be him and neither to-wish nor
δύνασθαι τὰ τῷ γάμῳ προσήκοντα πράττειν.
to-be-able the(-things) to-the marriage belonging to-do

28.3 ἐν τούτῳ τῆς κόρης ἀπείρου γάμων ἀποθανούσης, εἰκότως
in this the girl inexperienced of-marriage having-died naturally
ἡ Σερήνα βασιλείου γονῆς ἐπιθυμοῦσα δέει τοῦ μὴ τὴν
— Serena royal offspring desiring by-fear of-the not the
τοσαύτην αὐτῇ δυναστείαν ἐλαττωθῆναι, τῇ δευτέρᾳ θυγατρὶ
so-great for-her power to-be-diminished to-the second daughter
συνάψαι τὸν Ὀνώριον ἔσπευδεν. οὗ δὴ γενομένου τελευτᾷ
to-join — Honorius hastened which indeed having-happened dies
μὲν ἡ κόρη μετ᾽ οὐ πολύ, ταὐτὰ τῇ προτέρᾳ παθοῦσα.
indeed the girl after not much the-same-things as-the former having-suffered

29.1 Στελίχων δέ, ἀγγείλαντος αὐτῷ τινὸς ὡς τὰς Ἠπείρους
Stilicho and having-reported to-him someone that the Epiruses
Ἀλλάριχος καταλιπών, ὑπερβάς τε τὰ διείργοντα στενὰ
Alaric having-left having-passed and the dividing narrows
τὴν ἀπὸ Παιονίας ἐπὶ Οὐενετοὺς διάβασιν, τὰς σκηνὰς εἰς
the from Paeonia to Veneti crossing the tents at
Ἠμῶνα πόλιν ἐπήξατο, μεταξὺ Παιονίας τῆς ἀνωτάτω καὶ
Emona city pitched between Paeonia the uppermost and
Νωρικοῦ κειμένην, — ἄξιον δὲ μὴ παραδραμεῖν ὅσα τῆς
Noricum lying worthy and not to-pass-over as-much-as of-the
πόλεώς ἐστι ταύτης, καὶ ὅπως τὴν ἀρχὴν ἔτυχεν οἰκισμοῦ.
city is this and how at-the outset it-obtained of-founding

29.2 τοὺς Ἀργοναύτας φασὶν ὑπὸ τοῦ Αἰήτου διωκομένους ταῖς
the Argonauts they-say by — Aeetes being-pursued at-the
εἰς τὸν Πόντον ἐκβολαῖς τοῦ Ἴστρου προσορμισθῆναι,
into the Pontus mouths of-the Ister to-have-anchored
κρῖναί τε καλῶς ἔχειν διὰ τούτου πρὸς ἀντίον τὸν ῥοῦν
to-judge and well to-be through this against opposite the current

ἀναχθῆναι καὶ μέχρι τοσούτου διαπλεῦσαι τὸν ποταμὸν
to-be-carried-up and to so-far to-sail-through the river
εἰρεσίᾳ καὶ πνεύματος ἐπιτηδείου φορᾷ, μέχρις ἂν
by-rowing and of-wind suitable by-the-carrying until —
τῇ θαλάττῃ πλησιαίτεροι γένοιντο.
to-the sea nearer they-should-become
πράξαντες δὲ ὅπερ ἔγνωσαν, ἐπειδὴ κατὰ τοῦτον ἐγένοντο 29.3
having-done and what they-resolved when at this they-came
τὸν τόπον, μνήμην καταλιπόντες τῆς σφετέρας ἀφίξεως
the place memorial having-left of-the their arrival
τὸν τῆς πόλεως οἰκισμόν, μηχαναῖς ἐπιθέντες τὴν Ἀργὼ
the of-the city founding on-engines having-put the Argo
καὶ τετρακοσίων ὁδὸν σταδίων ἄχρι θαλάσσης ἑλκύσαντες
and of-four-hundred road stades up-to sea having-dragged(-it)
οὕτως ταῖς Ἰταλῶν ἀκταῖς προσωρμίσθησαν, ὡς ὁ ποιητὴς
thus on-the of-Italians shores anchored as the poet
ἱστορεῖ Πείσανδρος ὁ τῇ τῶν ἡρωικῶν θεογαμιῶν
relates Peisander the(-one) by-the of-the heroic god-marriages
ἐπιγραφῇ πᾶσαν ὡς εἰπεῖν ἱστορίαν περιλαβών.
title all so to-say history having-comprehended
ἐκ δὲ τῆς Ἠμῶνος προελθὼν καὶ τὸν Ἄκυλιν περαιωθεὶς 29.4
from and — Emona having-advanced and the Aquilis having-crossed
ποταμὸν τῷ Νωρικῷ προσέβαλεν, ἤδη τῶν Ἀπεννίνων
river — Noricum he-reached already of-the Apennine
ὀρῶν ἔξω γενόμενος. ὁρίζει δὲ ταῦτα τὰς Παιονίας
mountains outside having-become bound and these the of-Paeonia
ἐσχατιάς, στενοτάτην ὁδὸν διδόντα τοῖς ἐπὶ τὸ
extremities narrowest road giving to-the(-ones) to the
Νωρικὸν ἔθνος διαβαίνειν ἐθέλουσι, καὶ πρὸς ἣν ὀλίγοι
Norican people to-cross wishing and against which few
φύλακες ἤρκουν, εἰ καὶ πλῆθος τὴν πάροδον ἐβιάζετο.
guards would-suffice if even a-multitude the passage should-force

29.5 διαβὰς δὲ ὅμως ὁ Ἀλλάριχος ἐκ τοῦ Νωρικοῦ πρὸς
having-crossed and nevertheless — Alaric from — Noricum to
Στελίχωνα πρεσβείαν ἐκπέμπει, χρήματα αἰτῶν ὑπέρ τε
Stilicho an-embassy sends-out money asking for both
τῆς ἐν ταῖς Ἠπείροις τριβῆς, ἣν ἔλεγεν αὑτῷ Στελίχωνι
the in the Epiruses stay which he-said for-himself by-Stilicho
πεισθέντι γενέσθαι, καὶ τῆς εἰς τὴν Ἰταλίαν καὶ
having-been-persuaded to-have-occurred and of-the into — Italy and
τὸ Νωρικὸν εἰσβολῆς. ὁ δὲ Στελίχων τὴν πρεσβείαν
— Noricum invasion — and Stilicho the embassy
δεξάμενος καὶ ἐν τῇ Ῥαβέννῃ τοὺς πρέσβεις ἐάσας εἰς
having-received and in — Ravenna the envoys having-left to
τὴν Ῥώμην ἀφίκετο, κοινώσασθαι τῷ βασιλεῖ καὶ τῇ
— Rome came to-communicate with-the emperor and the
γερουσίᾳ περὶ τοῦ πρακτέου βουλόμενος.
senate about the to-be-done wishing

29.6 συνελθούσης δὲ τῆς γερουσίας εἰς τὰ βασίλεια καὶ βουλῆς
having-assembled and the senate into the palace and counsel
περὶ τοῦ πολεμεῖν ἢ μὴ προτεθείσης, ἡ μὲν τῶν πλειόνων
about the to-war or not having-been-proposed the indeed of-the more
εἰς τὸ πολεμεῖν ἐφέρετο γνώμη, μόνος δὲ Στελίχων
toward the to-war was-borne judgment alone and Stilicho
σὺν ὀλίγοις, ὅσοι φόβῳ συγκατετίθεντο, τὴν ἐναντίαν
with few as-many-as from-fear agreed the opposite
ἐχώρουν, εἰρήνην πρὸς Ἀλλάριχον ποιεῖσθαι ψηφιζόμενοι.
went peace with Alaric to-make voting

29.7 τῶν δὲ τὸν πόλεμον αἱρουμένων ἀπαιτούντων Στελίχωνα
the(-ones) and the war choosing demanding Stilicho
λέγειν ἀνθ' ὅτου μὴ πολεμεῖν μᾶλλον ἀλλ' εἰρήνην
to-say on-account-of what not to-war rather but peace
αἱρεῖται, καὶ ταύτην ἐπ' αἰσχύνῃ τοῦ Ῥωμαίων ἀξιώματος
he-chooses and this to disgrace of-the of-Romans dignity

ἀνέχεται χρημάτων ὠνήσασθαι, ‘διὰ γὰρ τὸ τῷ βασιλεῖ
endures with-money to-buy because-of for the to-the emperor
συνοῖσον’ ἔφη ‘τοσοῦτον ἐν ταῖς Ἠπείροις διέτριψε
going-to-benefit he-said so-much in the Epiruses he-spent
χρόνον,’ ὡς ἂν ἅμα οἱ τῷ τῆς ἑῴας
time so-that — together-with him against-the(-one) of-the east
βασιλεύοντι πολεμήσας Ἰλλυριοὺς ἐκείνης παρέληται τῆς
reigning having-warred Illyrians from-that he-might-take the
ἀρχῆς καὶ τῇ Ὁνωρίου προσθείη.
rule and to-the of-Honorius might-add

τοῦτο δ’ ἂν εἰς ἔργον ἤδη προῆλθεν, εἰ μὴ τοῦ 29.8
this and — into deed already would-have-come if not of-the
βασιλέως Ὁνωρίου φθάσαντα γράμματα τὴν ἐπὶ τὴν
emperor Honorius having-arrived-first letters the to the
ἑῴαν ἔλασιν αὐτοῦ διεκώλυσεν, ἣν ἐκδεχόμενον Ἀλλάριχον
east march of-him had-prevented which awaiting Alaric
αὐτόθι χρόνον δαπανῆσαι πολύν. καὶ ταῦτα λέγων
there time to-spend much and these-things saying
ὁ Στελίχων ἅμα καὶ τὴν ἐπιστολὴν ἐδείκνυ, καὶ τὴν
— Stilicho at-once also the letter showed and —
Σερήναν αἰτίαν ἔλεγεν εἶναι τὴν ἀμφοτέρων τῶν βασιλέων
Serena responsible said to-be the of-both the emperors
ὁμόνοιαν ἀδιάφθορον φυλάττεσθαι βουλομένην.
concord uncorrupted to-be-kept wishing

πᾶσι τοίνυν δόξαντος δίκαια λέγειν Στελίχωνος, ἐδόκει 29.9
to-all therefore having-seemed just-things to-say Stilicho it-seemed-good
τῇ γερουσίᾳ χρυσίου τετρακισχιλίας ὑπὲρ τῆς εἰρήνης
to-the senate of-gold four-thousand for the peace
Ἀλλαρίχῳ δίδοσθαι λίτρας, τῶν πλειόνων οὐ κατὰ προαίρεσιν
to-Alaric to-be-given pounds the more not by choice
ἀλλὰ τῷ Στελίχωνος φόβῳ τοῦτο ψηφισαμένων, ὥστε
but by-the of-Stilicho fear this having-voted so-that

ἀμέλει Λαμπάδιος γένους καὶ ἀξιώματος εὖ ἔχων, τῇ
doubtless Lampadius in-family and in-rank well being in-the
πατρίῳ φωνῇ τοῦτο ὑποφθεγξάμενος ‘non est ista pax sed
ancestral tongue this having-muttered not is this peace but
pactio servitutis’, ὃ δηλοῖ δουλείαν μᾶλλον ἤπερ εἰρήνην
a-pact of-slavery which shows slavery rather than peace
εἶναι τὸ πραττόμενον, ἅμα τῷ διαλυθῆναι τὸν
to-be the(-thing) being-done at-once with-the to-be-dissolved the
σύλλογον, δέει τοῦ μὴ παθεῖν τι διὰ τὴν παρρησίαν,
assembly by-fear of-the not to-suffer anything because-of the frankness
εἴς τινα πλησιάζουσαν τῶν Χριστιανῶν ἀπέφυγεν ἐκκλησίαν.
into some neighboring of-the Christians fled church

30.1 Ὁ μὲν οὖν Στελίχων τὴν πρὸς Ἀλλάριχον εἰρήνην τοιῷδε
— indeed then Stilicho the with Alaric peace in-such
τρόπῳ καταπραξάμενος ἐπὶ τὴν ἔξοδον ὥρμητο, τοῖς
way having-accomplished for the departure hastened to-the
αὐτῷ δόξασιν ἔργον ἐπιθήσων· ὁ δὲ βασιλεὺς ἐθέλειν
to-him resolved(-things) deed going-to-put the and emperor to-wish
ἔφασκεν ἐκ τῆς Ῥώμης εἰς τὴν Ῥάβενναν παραγενέσθαι
said from — Rome to — Ravenna to-come
θεάσασθαί τε τὸ στρατόπεδον καὶ φιλοφρονήσασθαι,
to-see both the army and to-treat-kindly
πολεμίου μάλιστα τοιούτου τῆς Ἰταλίας ἐντὸς διαβάντος.
enemy especially such — Italy within having-crossed

30.2 ἔλεγε δὲ ταῦτα οὐκ οἴκοθεν κινούμενος, ἀλλὰ συμβουλῇ
said and these-things not from-himself moved but by-counsel
Σερήνας πειθόμενος· ἐβούλετο γὰρ αὐτὸν ἀσφαλεστέραν
of-Serena persuaded she-wished for him safer
πόλιν οἰκεῖν, ἵνα εἰ τὴν εἰρήνην πατήσας Ἀλλάριχος
city to-inhabit so-that if the peace having-trampled Alaric
ἐπέλθοι τῇ Ῥώμῃ, μὴ κυριεύσῃ καὶ τοῦ βασιλέως·
should-attack — Rome not he-might-become-master also of-the emperor

ἦν γὰρ αὐτῇ σπουδὴ περισώζεσθαι τοῦτον, ὡς καὶ αὑτῆς
was for to-her eagerness to-be-saved this-one as also of-herself
τὴν ἀσφάλειαν διὰ τῆς ἐκείνου σωτηρίας ἐχούσῃ.
the safety through the his safety having
τῆς δὲ τοῦ βασιλέως ἐπὶ τὴν Ῥάβενναν ὁρμῆς ἀποθυμίου τῷ 30.3
the and of-the emperor to — Ravenna impulse displeasing —
Στελίχωνι φανείσης, ἐπενοεῖτο πολλὰ ταύτης κωλύματα. τοῦ
to-Stilicho having-appeared were-devised many to-this hindrances the
δὲ βασιλέως οὐκ ἐνδιδόντος ἀλλ᾽ ἐχομένου τῆς ὁδοιπορίας,
and emperor not yielding but holding-to the journey
Σάρος βάρβαρος μὲν τὸ γένος, ἐν δὲ τῇ Ῥαβέννῃ
Sarus barbarian indeed by-the race in and — Ravenna
στίφους βαρβάρων ἡγούμενος, γνώμῃ Στελίχωνος ἐκίνει
of-a-band of-barbarians leading by-judgment of-Stilicho stirred
πρὸ τῆς πόλεως θορύβους, οὐχ ὡς τῷ ὄντι συνταράξαι
before the city uproars not as in-the reality to-confound
τὰ καθεστῶτα βουλόμενος, ἀλλ᾽ ὡς ἂν ἐκφοβήσοι τὸν
the established(-order) wishing but so-that — he-might-frighten the
βασιλέα καὶ τῆς ὁδοῦ τῆς ἐπὶ τὴν Ῥάβενναν ἀποστρέψειε.
emperor and from-the road the to — Ravenna might-turn-away(-him)
τοῦ δὲ οὐκ ἀποστάντος ἧς εἶχε γνώμης, Ἰουστινιανὸς 30.4
him and not having-departed from-what he-had judgment Justinianus
ἐν τῷ τῶν συνηγόρων κατὰ τὴν Ῥώμην ἐπιτηδεύματι
in the of-the advocates at — Rome profession
διαπρέψας, αἱρεθεὶς δὲ παρὰ Στελίχωνος πάρεδρός τε
senate to the Capitol going-up there both and
ἐν ταῖς τῆς πόλεως ἀγοραῖς ὅσα προσήκει πραττούσης,
in the of-the city marketplaces as-much-as is-fitting doing
οὐκ ἐθάρρησεν οὐδεὶς τῆς κατὰ τὸ πάτριον μετασχεῖν
not dared no-one in-the according-to the ancestral to-partake
ἁγιστείας, ἀλλὰ τοὺς μὲν ἀπὸ τῆς Τουσκίας παρῆκαν,
worship but the(-ones) indeed from — Tuscia they-dismissed
ἐτράπησαν δὲ εἰς τὸ θεραπεῦσαι τὸν βάρβαρον καθ' ὅσον
turned and to the to-court the barbarian as much
ἂν οἷοί τε γίνωνται.
— able — they-might-become

41.4 πέμπουσι τοίνυν καὶ αὖθις τοὺς πρέσβεις, καὶ λόγων
send therefore also again the envoys and words
ἑκατέρωθεν πλείστων γεγενημένων ἐδόκει δοθῆναι παρὰ
on-both-sides very-many having-happened it-seemed-good to-be-given by
τῆς πόλεως πεντακισχιλίας μὲν χρυσοῦ λίτρας, τρισμυρίας
the city five-thousand indeed of-gold pounds thirty-thousand
τε πρὸς ταύταις ἀργύρου, σηρικοὺς δὲ τετρακισχιλίους
and besides these of-silver silk and four-thousand
χιτῶνας, ἔτι δὲ κοκκοβαφῆ τρισχίλια δέρματα καὶ
tunics further and scarlet-dyed three-thousand skins and
πέπερι σταθμὸν ἕλκον τρισχιλίων λιτρῶν. οὐκ ὄντων
pepper weight drawing of-three-thousand pounds not being
δὲ τῇ πόλει δημοσίων χρημάτων, πᾶσα ἦν ἀνάγκη
and to-the city public money all was necessity

τοῖς ἀπὸ τῆς γερουσίας, ὅσοι τὰς οὐσίας εἶχον,
on-the(-ones) from the senate as-many-as the properties held
ἐκ καταγραφῆς ταύτην ὑποστῆναι τὴν εἰσφοράν.
by assessment this to-undergo the levy
ἐπιτραπεὶς δὲ Παλλάδιος τῇ δυνάμει τῆς ἑκάστου 41.5
having-been-entrusted and Palladius with-the means of-the of-each
περιουσίας τὸ δοθησόμενον συμμετρῆσαι, καὶ
property the(-amount) going-to-be-given to-proportion and
ἀδυνατήσας εἰς ὁλόκληρον ἅπαντα συναθροῖσαι, ἢ τῶν
having-been-unable in whole all to-collect either the
κεκτημένων μέρος τι τῶν ὄντων ἀποκρυψάντων ἢ καὶ
owners part some of-the possessions having-hidden or also
ἄλλως πως εἰς πενίαν τῆς πόλεως ἐλθούσης διὰ τὰς
otherwise somehow into poverty the city having-come because-of the
ἐπαλλήλους τῶν κρατούντων πλεονεξίας, ἐπὶ τὸν κολοφῶνα
successive of-the rulers greeds to the finishing-stroke
τῶν κακῶν ὁ τὰ ἀνθρώπινα λαχὼν ἀλιτήριος δαίμων
of-the evils the the human(-affairs) having-been-allotted avenging demon
τοὺς ἐν τῇ πόλει τότε τὰ πράγματα πράττοντας ἤγαγεν.
the in the city then the affairs managing led
τὸ γὰρ ἐλλεῖπον ἀναπληρῶσαι διὰ τοῦ κόσμου τοῦ 41.6
the for lacking to-make-up through the adornment the
περικειμένου τοῖς ἀγάλμασιν ἔγνωσαν, ὅπερ οὐδὲν ἕτερον
lying-around the statues they-resolved which nothing else
ἦν ἢ τὰ τελεταῖς ἁγίαις καθιδρυθέντα καὶ τοῦ
was than the(-statues) by-rites holy set-up and the
καθήκοντος κόσμου τυχόντα διὰ τὸ φυλάξαι τῇ
fitting adornment having-obtained because-of the to-guard for-the
πόλει τὴν εὐδαιμονίαν ἀΐδιον, ἐλαττωθείσης κατά τι
city the happiness eternal having-been-diminished in some-respect
τῆς τελετῆς ἄψυχα εἶναι καὶ ἀνενέργητα.
the rite lifeless to-be and ineffective

41.7 ἐπεὶ δὲ πανταχόθεν ἔδει τὰ φέροντα πρὸς
since and from-all-sides it-was-necessary the(-things) leading to
ἀπώλειαν τῆς πόλεως συνδραμεῖν, οὐκ ἀπεκόσμησαν τὰ
destruction of-the city to-run-together not stripped the
ἀγάλματα μόνον, ἀλλὰ καὶ ἐχώνευσάν τινα τῶν ἐκ
statues only but also melted-down some of-the from
χρυσοῦ καὶ ἀργύρου πεποιημένων, ὧν ἦν καὶ τὸ
gold and silver made among-which was also the(-statue)
τῆς ἀνδρείας, ἣν καλοῦσι Ῥωμαῖοι VIRTVTEM· οὗπερ
of-the courage which call Romans Virtue which-very
διαφθαρέντος, ὅσα τῆς ἀνδρείας ἦν καὶ ἀρετῆς παρὰ
having-been-destroyed as-much-as of-the courage was and of-virtue among
Ῥωμαίοις ἀπέσβη, τοῦτο τῶν περὶ τὰ θεῖα καὶ
Romans was-extinguished this of-the about the divine(-things) and
τὰς πατρίους ἁγιστείας ἐσχολακότων ἐξ ἐκείνου τοῦ
the ancestral rites having-been-occupied from that the
χρόνου προφητευσάντων.
time having-prophesied

The ransom is paid, Rome's slaves desert to Alaric, and the senate sends envoys to Ravenna. Olympius blocks the peace, and six thousand Dalmatians sent to Rome are destroyed. Ataulf crosses the Alps; Olympius falls, and Generidus refuses his command until Honorius repeals the law against pagans. The prefect Jovius meets Alaric at Ariminum, but Honorius refuses Alaric any command, and Jovius swears never to make peace. Alaric asks only the Noricums and grain, but the officers will not break their oath.

Τὰ μὲν οὖν χρήματα τοῦτον συνεκομίσθη τὸν τρόπον, 42.1
the indeed then money this was-collected the way
ἐδόκει δὲ πρὸς τὸν βασιλέα πρεσβείαν σταλῆναι
it-seemed-good and to the emperor an-embassy to-be-sent
κοινωσομένην αὐτῷ περὶ τῆς ἐσομένης εἰρήνης, καὶ ὡς
going-to-communicate with-him about the going-to-be peace and that
οὐ τὰ χρήματα μόνον Ἀλλάριχος ἀλλὰ καὶ παῖδας τῶν
not the money only Alaric but also children of-the
εὖ γεγονότων ὁμήρους ἐθέλοι λαβεῖν ἐφ' ᾧ δὴ
well born as-hostages wished to-take on which(-terms) indeed
μὴ μόνον εἰρήνην ἀλλὰ καὶ ὁμαιχμίαν πρὸς τὸν βασιλέα
not only peace but also alliance with the emperor
ποιήσασθαι, χωρήσειν τε ὁμόσε Ῥωμαίοις κατὰ παντὸς
to-make to-go and together with-Romans against every(-one)
ἐναντία τούτοις φρονεῖν βουλομένου.
opposite to-these to-think wishing
ἐπεὶ δὲ καὶ τῷ βασιλεῖ τὴν εἰρήνην ἐπὶ τούτοις ἐδόκει 42.2
since and also to-the emperor the peace on these-terms seemed-good
γενέσθαι, τὰ μὲν χρήματα τοῖς βαρβάροις ἐδόθη, τριῶν
to-be the indeed money to-the barbarians was-given of-three
δὲ ἀγορὰν ἡμερῶν τοῖς ἀπὸ τῆς πόλεως Ἀλλάριχος
and market of-days to-the(-ones) from the city Alaric

ἀνῆκεν, ἄδειαν ἐξόδου διά τινων πυλῶν αὐτοῖς δεδωκώς,
granted freedom of-going-out through some gates to-them having-given
ἐπιτρέψας δὲ καὶ τὸν ἐκ τοῦ λιμένος ἀνάγεσθαι σῖτον.
having-permitted and also the from the harbor to-be-brought-up grain
ἀναπνευσάντων δὲ τῶν πολιτῶν, ἀποδομένων τε ὅσα
having-breathed-again and the citizens having-sold both as-much-as
ἦν αὐτοῖς περιττά, καὶ τὰ ἐνδέοντα πριαμένων ἢ
was to-them superfluous and the(-things) lacking having-bought or
ἐξ ἀμοιβῆς ἄλλων πραγμάτων πορισαμένων, ἀνεχώρουν
from exchange of-other things having-procured withdrew
τῆς Ῥώμης οἱ βάρβαροι, καὶ τὰς σκηνὰς ἔν τισι περὶ
— from-Rome the barbarians and the tents in some about
τὴν Τουσκίαν ἐπήγνυντο τόποις.
— Tuscia pitched places

42.3 καὶ οἱ μὲν οἰκέται σχεδὸν ἅπαντες, οἳ κατὰ τὴν Ῥώμην
and the indeed slaves almost all who in — Rome
ἦσαν, ἑκάστης ὡς εἰπεῖν ἡμέρας ἀναχωροῦντες τῆς
were each so to-say day withdrawing from-the
πόλεως ἀνεμίγνυντο τοῖς βαρβάροις, εἰς τεσσάρων που
city mingled with-the barbarians into of-four about
μυριάδων πλῆθος συνειλεγμένοις· ἀλώμενοι δέ τινες τῶν
ten-thousands multitude gathered wandering and some of-the
βαρβάρων τοῖς ἐπὶ τὸν λιμένα κατιοῦσι καὶ ἀνακομίζουσί
barbarians the(-ones) to the harbor going-down and bringing-up
τι τῶν ἐπιτηδείων ἐπῄεσαν, ὅπερ μαθὼν Ἀλλάριχος
something of-the provisions attacked which having-learned Alaric
ὡς μὴ κατὰ γνώμην αὐτοῦ γινόμενον ἐκκόπτειν
as not according-to judgment his happening to-cut-off
ἐσπούδαζε. δοκούσης δὲ εἶναι τῶν κακῶν μετρίας
was-eager seeming and to-be from-the evils moderate
ἀνακωχῆς, ἐν μὲν τῇ Ῥαβέννῃ πρόεισιν ὁ βασιλεὺς
respite in indeed — Ravenna proceeds the emperor

Ὀνώριος ὕπατος, ὀκτάκις ἤδη τῆς τιμῆς ταύτης τυχών,
Honorius consul eight-times already of-the honor this having-obtained
κατὰ δὲ τὴν ἑῴαν Θεοδόσιος τὸ τρίτον ὁ βασιλεύς.
in and the east Theodosius the third(-time) the emperor
Ἐπὶ τούτῳ τε Κωνσταντῖνος ὁ τύραννος εὐνούχους 43.1
on this and Constantine the tyrant eunuchs
πρὸς Ὀνώριον ἔστελλε, συγγνώμην αἰτῶν ἕνεκα
to Honorius sent pardon asking for-the-sake-of
τοῦ τὴν βασιλείαν ἀνασχέσθαι λαβεῖν· μηδὲ γὰρ ἐκ
the the rule to-have-consented to-take nor for from
προαιρέσεως ἑλέσθαι ταύτην, ἀλλὰ ἀνάγκης αὐτῷ παρὰ
choice to-have-chosen this but necessity on-him by
τῶν στρατιωτῶν ἐπαχθείσης.
the soldiers having-been-imposed
ταύτης ἀκηκοὼς ὁ βασιλεὺς τῆς αἰτήσεως, θεωρῶν τε ὡς 43.2
this having-heard the emperor the request seeing both that
οὐ ῥᾴδιον αὐτῷ τῶν σὺν Ἀλλαρίχῳ βαρβάρων οὐ πόρρω
not easy for-him the with Alaric barbarians not far
ὄντων περὶ πολέμων ἑτέρων διανοεῖσθαι, καὶ προσέτι γε
being about wars other to-think and besides at-least
λόγον ποιούμενος συγγενῶν οἰκείων παρὰ τοῦ τυράννου
account making of-kinsmen own by the tyrant
κατεχομένων (οὗτοι δὲ ἦσαν Βερηνιανὸς καὶ Δίδυμος),
being-held these and were Verenianus and Didymus
ἐνδίδωσι ταῖς αἰτήσεσιν, ἐκπέμπει δὲ αὐτῷ καὶ βασιλικὴν
yields to-the requests sends and to-him also royal
ἐσθῆτα. τῶν μὲν οὖν συγγενῶν ἕνεκα ματαίαν εἶχε
robe the indeed then kinsmen for-the-sake-of vain he-had
φροντίδα, πρὸ ταύτης τῆς πρεσβείας ἀποσφαγέντων, τοὺς
concern before this the embassy having-been-slaughtered the
δὲ εὐνούχους ἐπὶ τούτοις ἀπέπεμπεν.
and eunuchs on these-terms he-sent-away

44.1 Οὔπω δὲ τῆς πρὸς Ἀλλάριχον βεβαιωθείσης εἰρήνης
not-yet and the with Alaric confirmed peace
οἷα τοῦ βασιλέως οὔτε τοὺς ὁμήρους παραδόντος οὔτε
as the emperor neither the hostages having-handed-over nor
τὰ αἰτούμενα πάντα πληρώσαντος, ἐπέμποντο παρὰ
the(-things) asked all having-fulfilled were-sent by
τῆς γερουσίας εἰς τὴν Ῥάβενναν πρέσβεις Καικιλιανὸς
the senate to — Ravenna envoys Caecilianus
καὶ Ἄτταλος καὶ Μαξιμιανός, οἳ πάντα ἀποδυρόμενοι
and Attalus and Maximianus who all lamenting
τὰ συμβάντα τῇ Ῥώμῃ καὶ τὸ πλῆθος τῶν
the(-things) having-befallen — Rome and the multitude of-the(-ones)
ἀπολωλότων ἐκτραγῳδήσαντες ἤνυσαν πλέον οὐδέν,
having-perished having-dramatized accomplished more nothing
Ὀλυμπίου συνταράττοντος πάντα καὶ τοῖς καλῶς
Olympius confounding all-things and to-the(-things) well
ἔχειν δοκοῦσιν ἐμποδὼν γινομένου.
to-be seeming in-the-way becoming

44.2 ταύτῃ τοι τοὺς πρέσβεις ἐάσας ἀπράκτους ἐφ' οἷς
in-this-way indeed the envoys having-let-go unsuccessful for what
ἐληλύθασι, παραλύσας Θεόδωρον τῆς τῶν ὑπάρχων ἀρχῆς
they-had-come having-removed Theodorus from-the of-the prefects office
Καικιλιανῷ ταύτην παρέδωκεν, Ἄτταλον δὲ προεστάναι τῶν
to-Caecilianus this he-handed-over Attalus and to-preside-over the
θησαυρῶν ἔταξεν. ἔργον δὲ οὐδὲν ἕτερον ἔχοντος Ὀλυμπίου
treasuries appointed work and no other having Olympius
ἢ τὸ πανταχόθεν τοὺς Στελίχωνι συνεπίστασθαί τι
than the from-all-sides the(-ones) with-Stilicho to-share-knowledge something
λεγομένους ἰχνεύειν, ἤχθησαν εἰς κρίσιν ἐπὶ τῇ τοιαύτῃ
said to-track were-brought into trial on the such
συκοφαντίᾳ Μαρκελλιανὸς καὶ Σαλώνιος, ὄντες ἀδελφοὶ καὶ
false-accusation Marcellianus and Salonius being brothers and

ἐν τῷ τάγματι τῶν βασιλικῶν ὑπογραφέων ἀναφερόμενοι·
in the unit of-the royal secretaries counted
καὶ τούτους γὰρ Ὀλύμπιος τῷ τῆς αὐλῆς παρέδωκεν
also these for Olympius to-the of-the court handed-over
ὑπάρχῳ, καὶ αἰκισμοῦ παντὸς εἴδει τὸ σῶμα ξανθέντες
prefect and of-torture every in-form the body having-been-torn
τῶν Ὀλυμπίῳ σπουδαζομένων εἶπον οὐδέν.
of-the(-things) by-Olympius sought said nothing
Τῶν δὲ κατὰ τὴν Ῥώμην ἐν οὐδεμιᾷ τύχῃ βελτίονι 45.1
the(-affairs) and in — Rome in no fortune better
καταστάντων, ἔδοξε τῷ βασιλεῖ πέντε τῶν ἀπὸ
having-been it-seemed-good to-the emperor five of-the from
Δελματίας στρατιωτικὰ τάγματα, τῆς οἰκείας μεταστάντα
Dalmatia military units from-the own having-moved
καθέδρας, ἐπὶ φυλακῇ τῆς Ῥώμης ἐλθεῖν. τὰ δὲ τάγματα
base for guard — of-Rome to-come the and units
ταῦτα ἐπλήρουν ἄνδρες ἑξακισχίλιοι, τόλμῃ καὶ ῥώμῃ
these filled men six-thousand in-daring and in-strength
τοῦ Ῥωμαϊκοῦ στρατεύματος κεφάλαιον ὄντες.
of-the Roman army the-head being
ἡγεῖτο δὲ αὐτῶν Οὐάλης πρὸς πάντα κίνδυνον ἑτοιμότατος, 45.2
led and them Valens for every danger most-ready
ὃς οὐκ ἀξιώσας δι᾽ ὁδῶν ἃς οὐκ ἐφύλαττον οἱ
who not having-deigned through roads which not guarded the
πολέμιοι διελθεῖν, καραδοκήσαντος Ἀλλαρίχου τὴν πάροδον
enemies to-pass having-watched-for Alaric the passage
ἐπιπεσόντος τε σὺν παντὶ τῷ στρατεύματι πάντας
having-fallen-on and with all the army all
ὑπὸ ταῖς τῶν πολεμίων πεποίηκε γενέσθαι χερσί, καὶ
under the of-the enemies he-has-made to-come hands and
μόλις διέφυγον ἄνδρες ἑκατόν, ἐν οἷς καὶ ὁ τούτων
scarcely escaped men a-hundred among whom also the of-these

ἡγούμενος ἦν· οὗτος γὰρ ἅμα Ἀττάλῳ τῷ ὑπὸ τῆς
leading was this-man for with Attalus the(-one) by the
γερουσίας σταλέντι πρὸς τὸν βασιλέα οἷός τε γέγονεν
senate sent to the emperor able — became
εἰς τὴν Ῥώμην εἰσελθὼν διασωθῆναι.
into — Rome having-entered to-be-saved
45.3 κακῶν δὲ μειζόνων ἀεὶ τοῖς οὖσι προστιθεμένων,
evils and greater always to-the existing being-added
ἐπιστὰς Ἄτταλος τῇ Ῥώμῃ παραλύει τῆς φροντίδος
having-come-to Attalus — Rome removes from-the charge
Ἡλιοκράτην, ἣν ὁ βασιλεὺς ἦν αὐτῷ παραδοὺς Ὀλυμπίῳ
Heliocrates which the emperor had to-him handed-over Olympius
πειθόμενος. ἐτέτακτο γὰρ τὰς οὐσίας τῶν
obeying he-had-been-appointed for the properties of-the(-ones)
δεδημευμένων διὰ τὴν Στελίχωνος οὐσίαν διερευνῆσαι
confiscated because-of the of-Stilicho property to-search-out
καὶ ταύτας τοῦ δημοσίου ποιεῖν· ἀλλ᾽ ἐπειδὴ μέτρια
and these of-the treasury to-make but since moderate
φρονῶν τὸ τοῖς δυστυχοῦσιν ἐπεμβαίνειν ἐν ἀσεβείας
minded the on-the unfortunate to-trample in of-impiety
ἐτίθετο μέρει, καὶ οὔτε πρὸς ἀκρίβειαν τὰ πράγματα
he-put part and neither to exactness the affairs
ἀνεζήτει, πολλοῖς δὲ καὶ ἀποκρύπτειν ἃ δύναιντο λάθρᾳ
he-investigated to-many and also to-hide what they-could secretly
ἐδήλου, φαῦλός τις εἶναι διὰ τοῦτο δόξας εἰς
he-showed base some to-be because-of this having-seemed to
τὴν Ῥάβενναν ἤγετο, τῆς περὶ τοὺς ἀτυχήσαντας
— Ravenna he-was-brought of-the toward the(-ones) having-been-unfortunate
φιλανθρωπίας ἕνεκεν δίκην ἐκτίσων.
humanity for-the-sake-of penalty going-to-pay

καὶ πάντως ἂν ἐτιμήθη θανάτου διὰ τὴν τότε 45.4
and altogether — would-be-sentenced to-death because-of the then
κρατοῦσαν ὠμότητα, εἰ μή τινα τῶν Χριστιανῶν
prevailing cruelty if not some of-the Christians
ἐκκλησίαν ἔτυχε τηνικαῦτα καταλαβών. Μαξιμιλλιανὸς
church he-happened at-that-time having-occupied Maximillianus
δὲ τοῖς πολεμίοις περιπεσὼν ἀπεδόθη Μαρινιανῷ τῷ
and into-the enemies having-fallen was-returned to-Marinianus the
πατρὶ τρισμυρίων ὑπὲρ αὐτοῦ δοθέντων χρυσῶν· ὡς
father thirty-thousand for him having-been-given gold-pieces as
γὰρ ἀναβαλομένου τὴν εἰρήνην τοῦ βασιλέως καὶ μὴ
for having-put-off the peace the emperor and not
πληρώσαντος τὰ συγκείμενα τοῖς ἁλισκομένοις
having-fulfilled the(-terms) agreed to-the(-ones) being-captured
*** τῶν εὖ γεγονότων, οὐκ ἦν ἔτι τοῖς Ῥωμαίοις
(lacuna) of-the well born not was any-longer for-the Romans
ἡ τῆς πόλεως ἔξοδος ἐλευθέρα.
the from-the city going-out free
ἀλλὰ τῆς μὲν εἰρήνης ἕνεκα καὶ αὖθις ὡς βασιλέα 45.5
but of-the indeed peace for-the-sake-of also again to the-emperor
πέμπει πρέσβεις ἡ γερουσία, καὶ τοῦ τῆς Ῥώμης
sends envoys the senate also the — of-Rome
ἐπισκόπου τοῖς πρέσβεσι συναπάραντος· ἦσαν δὲ σὺν
bishop with-the envoys having-set-out-with were and with
αὐτοῖς καὶ βαρβάρων τινὲς ὑπ᾽ Ἀλλαρίχου σταλέντες, ὡς
them also of-barbarians some by Alaric sent so-that
ἂν περισώζοιεν αὐτοὺς ἐκ τῶν ἐνοχλούντων ταῖς ὁδοῖς
— they-might-keep-safe them from the troubling the roads
πολεμίων. ἀλλὰ τούτων ἐς τὸν βασιλέα κεχωρηκότων,
enemies but these to the emperor having-gone
Ἀτάουλφος γενόμενος ὑπ᾽ Ἀλλαρίχου μετάπεμπτος, ὡς ἐν
Ataulf having-become by Alaric summoned as in

τοῖς ἀνωτέρω διεξῆλθον, ἐπεραιώθη τὰς Ἄλπεις τὰς ἀπὸ
the above I-related crossed the Alps the from
Παιονίας ἐπὶ τὴν Οὐενετίαν φερούσας.
Paeonia to — Venetia leading

45.6 ὅπερ ὁ βασιλεὺς ἀκηκοώς, μὴ πολλήν τε δύναμιν εἶναι
which the emperor having-heard not great and force to-be
αὐτῷ, τοὺς στρατιώτας πάντας, ἱππέας τε καὶ πεζούς,
to-him the soldiers all horsemen both and foot-soldiers
ὅσοι κατὰ τὰς πόλεις ἦσαν, ἀπαντῆσαι τούτῳ διέταξεν
as-many-as in the cities were to-meet this-man ordered
ἅμα τοῖς σφῶν ἡγεμόσιν. Ὀλυμπίῳ δὲ τῶν ἐν τῇ αὐλῇ
with the their leaders to-Olympius and of-the in the court
τάξεων ἡγουμένῳ τοὺς ἐν τῇ Ῥαβέννῃ δέδωκεν Οὔννους,
ranks leading the in — Ravenna he-has-given Huns
τριακοσίους ὄντας τὸν ἀριθμόν, οἵτινες ἐπειδὴ τοὺς
three-hundred being the number who since the(-ones)
ἐληλυθότας *** Πείσας αὐτὴν ὀνομάζουσιν, ἐπιθέμενοι
having-come (lacuna) Pisae it they-name having-attacked
καὶ συμπεσόντες ἀναιροῦσι μὲν τῶν Γότθων ἑκατὸν
and having-engaged kill indeed of-the Goths hundred
καὶ χιλίους, ἑπτακαίδεκα μόνοι πεσόντες· ὡς δὲ τὸ πᾶν
and thousand seventeen alone having-fallen as and the whole
ἐπιὸν ἐθεάσαντο πλῆθος, μὴ κυκλωθεῖεν ὑπὸ τῶν
approaching they-saw multitude lest they-should-be-surrounded by the
πολλῶν δείσαντες, εἰς τὴν Ῥάβενναν ἐσώθησαν.
many having-feared to — Ravenna were-saved

46.1 Ὀλύμπιον δὲ οἱ περὶ τὴν αὐλὴν εὐνοῦχοι πρὸς τὸν
Olympius and the about the court eunuchs to the
βασιλέα διαβαλόντες ὡς αἴτιον τῶν οὐ δεξιῶς
emperor having-slandered as responsible for-the(-things) not favorably
συμβεβηκότων τῷ πολιτεύματι, παραλυθῆναι τῆς ἀρχῆς
having-happened to-the state to-be-removed from-the office

πεποιήκασιν. ὃ δὲ μὴ καὶ ἕτερόν τι πάθοι δεδιώς,
have-made he and lest also other something he-might-suffer fearing
φυγῇ χρησάμενος τὴν Δαλματίαν κατελάμβανεν. ὁ δὲ
flight having-used — Dalmatia reached the and
βασιλεὺς ὕπαρχον μὲν τὸν Ἄτταλον εἰς τὴν Ῥώμην
emperor prefect indeed — Attalus to — Rome
ἐκπέμπει, πολὺν δὲ ποιούμενος λόγον τοῦ μὴ λαθεῖν
sends-out much and making account of-the not to-escape-notice
τι τῶν εἰς τὸ ταμιεῖον ἐλθόντων, ἐκπέμπει
anything of-the(-things) into the treasury having-come sends-out
Δημήτριον ἣν εἶχεν Ἄτταλος φροντίδα πληρώσοντα καὶ
Demetrius which held Attalus charge going-to-fill and
διερευνησόμενον τὰς οὐσίας ὅσαι τοῦ δημοσίου γεγόνασι.
going-to-search-out the properties as-many-as of-the treasury have-become
πολλὰ δὲ περὶ τὰς ἀρχὰς καὶ ἄλλα καινοτομήσας, καὶ 46.2
many and about the offices also other having-innovated and
τοὺς μὲν πρότερον καταδυναστεύοντας ἐκβαλών, ἄλλοις
the(-ones) indeed before domineering having-cast-out to-others
δὲ τὰς ἀρχὰς παραδούς, ἔταξε καὶ Γενέριδον τῶν ἐν
and the offices having-handed-over he-appointed also Generidus of-the in
Δαλματίᾳ πάντων ἡγεῖσθαι, ὄντα στρατηγὸν καὶ τῶν ἄλλων
Dalmatia all to-lead being general and of-the others
ὅσοι Παιονίαν τε τὴν ἄνω καὶ Νωρικοὺς καὶ Ῥαιτοὺς
as-many-as Paeonia both the upper and Noricans and Raetians
ἐφύλαττον, καὶ ὅσα αὐτῶν μέχρι τῶν Ἄλπεων. ἦν δὲ
guarded and as-much-as of-them up-to the Alps was and
ὁ Γενέριδος βάρβαρος μὲν τὸ γένος, τὸν δὲ τρόπον εἰς
— Generidus barbarian indeed by-the race the and character for
πᾶν ἀρετῆς εἶδος εὖ πεφυκώς, χρημάτων τε ἀδωρότατος.
every of-virtue form well endowed of-money and most-incorruptible

46.3 οὗτος ἔτι τοῖς πατρῴοις ἐμμένων καὶ τῆς εἰς θεοὺς
this-man still in-the ancestral(-ways) abiding and from-the toward gods
θρησκείας ἐκστῆναι οὐκ ἀνεχόμενος, ἐπειδὴ νόμος εἰσήχθη
worship to-depart not enduring since a-law was-introduced
τοῖς οὐκ οὖσι Χριστιανοῖς ζώνην ἐν τοῖς βασιλείοις
for-the(-ones) not being Christians belt in the palace
ἔχειν ἀπαγορεύων, τούτου τοῦ νόμου τεθέντος ἀρχῆς
to-have forbidding this the law having-been-laid-down of-command
ἐν τῇ Ῥώμῃ στρατιωτικῆς προεστὼς ὁ Γενέριδος ἔμεινεν
in — Rome military presiding — Generidus remained
ἐπ᾽ οἴκου, τὴν ζώνην ἀποθέμενος. ἐπεὶ δὲ ὁ βασιλεὺς οἷα
at home the belt having-laid-aside since and the emperor as
δὴ τοῖς ἄρχουσι συναριθμούμενον ἀπήτει προϊέναι
indeed among-the officials counted demanded to-come-forward
κατὰ τὴν οἰκείαν τάξιν εἰς τὰ βασίλεια, νόμον ἔφησεν
according-to the own rank into the palace a-law he-said
εἶναι κωλύοντα ζώνην αὐτὸν ἔχειν ἢ ὅλως τοῖς ἄρχουσι
to-be preventing belt him to-have or at-all among-the officials
καταλέγεσθαι τοὺς τὴν Χριστιανῶν μὴ τιμῶντας θρησκείαν.
to-be-enrolled the(-ones) the of-Christians not honoring worship

46.4 τοῦ δὲ βασιλέως εἰπόντος ὡς ἐπὶ μὲν τοῖς ἄλλοις ἅπασι
the and emperor having-said that for indeed the others all
τὸν νόμον κρατεῖν, ἐπ᾽ αὐτοῦ δὲ οὐκέτι τοσαῦτα τῆς
the law to-prevail for him and no-longer so-many-things for-the
πολιτείας προκινδυνεύσαντος, ταύτης οὐκ ἀνέχεσθαι τῆς
state having-run-risk-in-front this not to-endure the
τιμῆς εἶπεν, εἰς ὕβριν πάντων φερούσης τῶν ὅσοι
honor he-said into insult of-all bearing of-the(-ones) as-many-as
τῆς στρατείας διὰ τὸν νόμον διήμαρτον. καὶ οὐκ ἄλλως
of-the service because-of the law had-missed and not otherwise
ἀντελάβετο τῆς ἀρχῆς, ἕως ὁ βασιλεὺς αἰδοῖ τε ἅμα καὶ
took-hold of-the command until the emperor by-shame both at-once and

χρείᾳ συνωθούμενος ἔπαυσεν ἐπὶ πᾶσι τὸν νόμον, ἀποδοὺς
by-need being-pressed stopped for all the law having-restored
ἑκάστῳ τῆς αὑτοῦ ὄντι δόξης ἄρχειν τε καὶ στρατεύεσθαι.
to-each of-the his-own being belief to-hold-office both and to-serve
ἀπὸ ταύτης ὁρμώμενος τῆς μεγαλοφροσύνης Γενέριδος 46.5
from this setting-out the magnanimity Generidus
συνεχέσι τοὺς στρατιώτας ἐπαίδευε γυμνασίαις, ἐπιδιδούς
with-continual the soldiers trained exercises giving
τε τὰς σιτήσεις αὐτοῖς παραιρεῖσθαι τούτων οὐδενὶ
both the rations to-them to-take-away-from these to-none
κατὰ τὸ σύνηθες ἐνεδίδου, καὶ αὐτός, ἐξ ὧν αὐτῷ
according-to the custom he-allowed and himself from what to-him
τὸ δημόσιον ἐδίδου, τὰ πρέποντα τοῖς πλέον
the treasury gave the(-things) fitting to-the(-ones) more
πονοῦσι φιλοτιμούμενος. καὶ τοιοῦτος φανεὶς τοῖς τε
toiling bestowing and such having-appeared to-the both
πλησιάζουσι βαρβάροις ἐπίφοβος ἦν, καὶ πᾶσαν ἀσφάλειαν
neighboring barbarians formidable he-was and all security
τοῖς ἔθνεσιν, ὅσα φυλάττειν ἔλαχεν, ἐνεποίει.
to-the peoples as-many-as to-guard he-was-allotted created
Κατὰ δὲ τὴν Ῥάβενναν εἰς στάσιν ἀναστάντες οἱ 47.1
at and — Ravenna into revolt having-risen the
στρατιῶται τὸν ταύτης λιμένα καταλαμβάνουσι, σὺν οὐδενὶ
soldiers the of-this harbor seize with no
κόσμῳ βοῶντες καὶ τὸν βασιλέα φανῆναι σφίσιν αἰτοῦντες.
order shouting and the emperor to-appear to-them demanding
τοῦ δὲ φόβῳ τῆς στάσεως ἀποκρυβέντος, προελθὼν
he and by-fear of-the revolt having-hidden having-come-forward
εἰς μέσον Ἰόβιος ὁ τῆς αὐλῆς ὕπαρχος, ἅμα καὶ τῇ
into midst Jovius the of-the court prefect at-once also with-the
τοῦ πατρικίου τετιμημένος ἀξίᾳ, ποιούμενος ἀγνοεῖν
of-the patrician honored rank making(-pretense) to-be-ignorant-of

τὴν αἰτίαν τῆς στάσεως (καίτοι γε αὐτὸς ἐλέγετο
the cause of-the revolt and-yet at-least himself was-said
ταύτης αἴτιος εἶναι, κοινωνὸν ἔχων Ἀλλόβιχον εἰς τοῦτο
of-this responsible to-be partner having Allobichus for this
τὸν τῶν ἱππέων ἡγούμενον δομεστίκων) ἀπήτει λόγον
the of-the horsemen leading domestics demanded account
αὐτοὺς ἀνθ' ὅτου πρὸς τοῦτο ἐξήχθησαν.
them for what to this they-had-been-led-out

47.2 ὡς δὲ παρὰ τῶν στρατιωτῶν ἤκουεν ὡς πᾶσα ἀνάγκη
as and from the soldiers he-heard that all necessity
Τουρπιλλίωνα καὶ Βιγελάντιον αὐτοῖς ἐκδοθῆναι τοὺς
Turpillio and Vigilantius to-them to-be-handed-over the
στρατηγοὺς καὶ μετὰ τούτων Τερέντιον τὸν τῶν
generals and with these Terentius the(-one) of-the
βασιλικῶν προεστῶτα κοιτώνων καὶ Ἀρσάκιον τὸν
royal presiding-over bedchambers and Arsacius the(-one)
μετὰ τοῦτον τῇ τάξει καλούμενον, δείσαντος δὴ
after this-one in-the rank called having-feared indeed
τοῦ βασιλέως τὴν τῶν στρατιωτῶν ἐπανάστασιν, κατὰ
the emperor the of-the soldiers uprising against
μὲν τῶν στρατηγῶν ἀειφυγίας ἐκφέρεται ψῆφος καὶ
indeed the generals of-perpetual-exile is-brought-out vote and
ἐμβληθέντες πλοίῳ παρὰ τῶν ἀπαγόντων ἀναιροῦνται
having-been-put on-a-ship by the(-ones) leading(-them)-away are-killed
(τοῦτο γὰρ ἦν αὐτοῖς κελεύσας Ἰόβιος·
this for had to-them ordered Jovius

47.3 ἐδεδίει γὰρ μή ποτε ἐπανελθόντες καὶ τὴν κατὰ
he-feared for lest ever having-returned and the against
σφῶν γνόντες ἐπιβουλὴν εἰς τὴν κατ' αὐτοῦ τὸν
them having-learned plot into the against him the
βασιλέα προκαλέσοιντο τιμωρίαν), Τερέντιος δὲ εἰς τὴν
emperor they-should-provoke vengeance Terentius and into the

ἑῴαν ἐκπέμπεται, καὶ Ἀρσάκιος τὴν Μεδιόλανον οἰκεῖν
east is-sent-off and Arsacius — Mediolanum to-inhabit
ἐκληρώσατο.
was-allotted

Καταστήσας δὲ ὁ βασιλεὺς Εὐσέβιον μὲν ἀντὶ Τερεντίου 48.1
having-appointed and the emperor Eusebius indeed in-place-of Terentius
φύλακα τοῦ κοιτῶνος, Οὐάλεντι δὲ τὴν ἀρχὴν ἣν εἶχε
guard of-the bedchamber to-Valens and the command which had
Τουρπιλλίων παραδούς, καὶ μετὰ Βιγελάντιον Ἀλλόβιχον
Turpillio having-handed-over and after Vigilantius Allobichus
ἵππαρχον καταστήσας, τὴν μὲν τῶν στρατιωτῶν παύειν
master-of-horse having-appointed the indeed of-the soldiers to-stop
πως ἔδοξε στάσιν, Ἰόβιος δὲ ὁ τῆς αὐλῆς ὕπαρχος, πᾶσαν
somehow seemed revolt Jovius and the of-the court prefect all
εἰς αὑτὸν τὴν παρὰ βασιλεῖ δύναμιν περιστήσας, ἔγνω
to himself the with the-emperor power having-brought-round resolved
πρέσβεις ἐκπέμψαι πρὸς Ἀλλάριχον, ἄχρι τῆς Ῥαβέννης
envoys to-send to Alaric up-to — Ravenna
αὐτὸν παραγενέσθαι σὺν Ἀταούλφῳ παρακαλοῦντας ὡς
him to-come with Ataulf urging as
δὴ τῆς εἰρήνης αὐτόθι γενησομένης.
indeed the peace there going-to-be-made

πεισθέντος δὲ τοῖς τοῦ βασιλέως καὶ τοῖς Ἰοβίου γράμμασιν 48.2
persuaded and by-the of-the emperor and by-the of-Jovius letters
Ἀλλαρίχου, παραγενομένου τε εἰς τὴν Ἀρίμηνον Ῥαβέννης
Alaric having-come and to — Ariminum from-Ravenna
ἀφεστῶσαν μιλίοις τριάκοντα, συνδραμὼν κατὰ ταύτην
distant by-miles thirty having-met at this
Ἰόβιος, ἅτε ἐν ταῖς Ἠπείροις πρόξενος καὶ φίλος Ἀλλαρίχῳ
Jovius as in the Epiruses guest-friend and friend to-Alaric
γεγενημένος, τοὺς περὶ τῶν συνθηκῶν ἐποιήσατο λόγους.
having-become the about the agreements made words

48.3 ἀπῄτει δὲ Ἀλλάριχος χρυσίον μὲν ἔτους ἑκάστου δίδοσθαί
demanded and Alaric gold indeed of-year each to-be-given
τι ῥητὸν καὶ σίτου τι χορηγεῖσθαι μέτρον, οἰκεῖν δὲ αὐτὸν
some fixed and of-grain some to-be-supplied measure to-inhabit and himself
ἅμα τοῖς σὺν αὐτῷ πᾶσι Βενετίας ἄμφω καὶ Νωρικοὺς
with the(-ones) with him all Venetiae both and Norici
καὶ Δελματίαν. ταῦτα ἐναντίον Ἀλλαρίχου γράψας
and Dalmatia these-things before Alaric having-written
Ἰόβιος ἐκπέμπει τῷ βασιλεῖ, δοὺς καὶ ἴδια πρὸς αὐτὸν
Jovius sends to-the emperor having-given also private to him
γράμματα παραινοῦντα καταστῆσαι δυνάμεως ἑκατέρας
letters advising to-appoint of-force each
στρατηγὸν Ἀλλάριχον, ὥστε ταύτης αὐτὸν τυχόντα τῆς
general Alaric so-that this him having-obtained the
θεραπείας χαλάσαι τι τῆς βαρύτητος τῶν συνθηκῶν
courtesy to-relax something of-the severity of-the agreements
καὶ ἐπὶ φορητοῖς καὶ μετρίοις ποιήσασθαι τὰς σπονδάς.
and on bearable and moderate(-terms) to-make the treaty
48.4 ταύτην δεξάμενος ὁ βασιλεὺς τὴν ἐπιστολὴν καταγινώσκει
this having-received the emperor the letter condemns
μὲν τῆς Ἰοβίου προπετείας, γράμμασι δὲ ἐχρῆτο πρὸς
indeed the of-Jovius rashness letters and used to
αὐτὸν δι' ὧν ἐδήλου χρυσίου μὲν καὶ σίτου μέτρον
him through which he-showed of-gold indeed and of-grain the-measure
αὐτὸν ὁρίσαι προσήκειν οἷα τῆς αὐλῆς ὕπαρχον ὄντα καὶ
him to-define to-befit as of-the court prefect being and
τὴν τῶν δημοσίων φόρων ἐπιστάμενον δύναμιν, ἀξίαν δὲ
the of-the public taxes knowing capacity rank and
ἢ στρατηγίαν μή ποτε Ἀλλαρίχῳ δώσειν ἤ τισι τῶν
or generalship not ever to-Alaric to-give or to-any of-the(-ones)
τῷ γένει προσηκόντων.
by-the race related

ταύτην δεξάμενος Ἰόβιος τὴν ἐπιστολὴν οὐ καθ' ἑαυτὸν 49.1
this having-received Jovius the letter not by himself
ἀνελίξας ἀνέγνω ταύτην ἀλλ' εἰς ἐπήκοον Ἀλλαρίχου.
having-unrolled read it but into hearing of-Alaric
καὶ τὰ μὲν ἄλλα μετρίως ἤνεγκεν· ὡς δὲ ἀρνηθεῖσαν
and the indeed other-things moderately he-bore as and denied
εἶδεν ἑαυτῷ τε καὶ τῷ γένει τὴν τῆς στρατηγίας ἀρχήν,
he-saw to-himself both and to-the race the of-the generalship office
ἀναστὰς εἰς ὀργὴν αὐτόθεν ἐπὶ τὴν Ῥώμην ἐλαύνειν
having-risen into anger from-there to — Rome to-march
τοὺς σὺν αὐτῷ βαρβάρους ἐκέλευσεν ὡς αὐτίκα τὴν εἰς
the with him barbarians he-ordered as at-once the against
αὐτὸν καὶ τὸ γένος ἅπαν ἀμυνούμενος ὕβριν.
himself and the race all going-to-avenge insult
Ἰόβιος δὲ ἀπορηθεὶς ἐπὶ τῷ παραλόγῳ τῶν τοῦ βασιλέως 49.2
Jovius and perplexed at the strangeness of-the of-the emperor
γραμμάτων εἰς τὴν Ῥάβενναν ἐπανῄει. βουλόμενος δὲ
letters to — Ravenna returned wishing and
τῆς μέμψεως αὑτὸν ἀπολῦσαι κατέλαβεν ὅρκοις Ὀνώριον,
from-the blame himself to-free bound by-oaths Honorius
ἦ μὴν εἰρήνην μή ποτ' ἔσεσθαι πρὸς Ἀλλάριχον, ἀλλ'
truly indeed peace not ever to-be with Alaric but
ἄχρι παντὸς αὐτῷ πολεμήσειν. ὤμνυ δὲ καὶ αὐτὸς
to the-end against-him to-war swore and also himself
ὅρκον τῆς βασιλέως ἁψάμενος κεφαλῆς, καὶ τοὺς ἄλλους
an-oath of-the emperor having-touched head and the others
οἳ τὰς ἀρχὰς εἶχον ταὐτὸν ποιῆσαι παρασκευάσας.
who the offices held the-same to-do having-arranged
Τούτων δὲ πραχθέντων ὁ βασιλεὺς ὡς δὴ πολεμήσων 50.1
these-things and having-been-done the emperor as indeed going-to-war
Ἀλλαρίχῳ μυρίους εἰς συμμαχίαν Οὔννους ἐπεκαλεῖτο·
with-Alaric ten-thousand for alliance Huns called-in

τροφὴν δὲ τούτοις ἕτοιμον εἶναι παροῦσι βουλόμενος,
food and for-these ready to-be being-present wishing
σῖτον καὶ πρόβατα καὶ βόας τοὺς ἀπὸ τῆς Δελματίας
grain and sheep and oxen the(-ones) from — Dalmatia
εἰσφέρειν ἐκέλευεν. ἔπεμπε δὲ τοὺς κατασκοπήσοντας
to-bring-in ordered sent and the(-ones) going-to-spy-out
ὅπως τὴν ἐπὶ τὴν Ῥώμην ὁδὸν Ἀλλάριχος ποιεῖται, καὶ
how the to — Rome road Alaric makes and
πανταχόθεν τὰς δυνάμεις συνήθροιζεν.
from-all-sides the forces collected

50.2 Ἀλλάριχος δὲ εἰς μετάμελον ἐλθὼν ἐπὶ τῇ κατὰ τῆς
Alaric and into regret having-come at the against —
Ῥώμης ὁρμῇ, τοὺς κατὰ πόλιν ἐπισκόπους ἐξέπεμπε
Rome impulse the in each-city bishops sent-out
πρεσβευσομένους ἅμα καὶ παραινοῦντας τῷ βασιλεῖ
going-to-be-envoys at-once and advising to-the emperor
μὴ περιιδεῖν τὴν ἀπὸ πλειόνων ἢ χιλίων ἐνιαυτῶν
not to-overlook the(-city) from more than a-thousand years
τοῦ πολλοῦ τῆς γῆς βασιλεύουσαν μέρους ἐκδεδομένην
of-the great of-the earth ruling part given-up
βαρβάροις εἰς πόρθησιν, μηδὲ οἰκοδομημάτων μεγέθη
to-barbarians for sack nor of-buildings magnitudes
τηλικαῦτα διαφθειρόμενα πολεμίῳ πυρί, θέσθαι δὲ τὴν
so-great being-destroyed by-hostile fire to-make and the
εἰρήνην ἐπὶ μετρίαις σφόδρα συνθήκαις.
peace on moderate very agreements

50.3 οὔτε γὰρ ἀρχῆς ἢ ἀξίας δεῖσθαι τὸν βάρβαρον, οὔτε τὰς
neither for office or rank to-need the barbarian nor the
πρότερον ἐπαρχίας ἔτι πρὸς οἴκησιν βούλεσθαι καὶ
former provinces any-longer for dwelling to-wish also
ἐπὶ τοῦ παρόντος λαβεῖν, ἀλλὰ μόνους ἄμφω Νωρικούς,
at the present to-take but only both Noricums

ἐν ταῖς ἐσχατιαῖς που τοῦ Ἴστρου κειμένους, συνεχεῖς
at the extremities somewhere of-the Ister lying continual
τε ὑφισταμένους ἐφόδους καὶ εὐτελῆ φόρον τῷ δημοσίῳ
both undergoing attacks and paltry tribute to-the treasury
εἰσφέροντας, καὶ σῖτον ἐπὶ τούτοις ἔτους ἑκάστου
paying and grain besides these of-year each
τοσοῦτον ὅσον ἀρκεῖν ὁ βασιλεὺς οἰηθείη. συγχωρεῖν
so-much as-much-as to-suffice the emperor should-think to-concede
δὲ καὶ τὸ χρυσίον, εἶναί τε φιλίαν καὶ ὁμαιχμίαν αὐτῷ
and also the gold to-be both friendship and alliance between-him
καὶ Ῥωμαίοις κατὰ παντὸς αἴροντος ὅπλα καὶ πρὸς
and Romans against everyone raising arms and for
πόλεμον κατὰ τῆς βασιλείας ἐγειρομένου.
war against the empire rousing(-himself)
ταῦτα ἐπιεικῶς καὶ σωφρόνως Ἀλλαρίχου προτεινομένου, 51.1
these-things reasonably and prudently Alaric proposing
καὶ πάντων ὁμοῦ τὴν τοῦ ἀνδρὸς μετριότητα θαυμαζόντων,
and all together the of-the man moderation admiring
Ἰόβιος καὶ οἱ τῷ βασιλεῖ παραδυναστεύοντες
Jovius and the(-ones) with-the emperor having-influence
ἀνήνυτα ἔφασκον τὰ αἰτούμενα εἶναι, πάντων ὅσοι
impossible said the(-things) asked to-be all as-many-as
τὰς ἀρχὰς εἶχον ὀμωμοκότων μὴ ποιεῖσθαι πρὸς Ἀλλάριχον
the offices held having-sworn not to-make with Alaric
εἰρήνην. εἰ μὲν γὰρ πρὸς τὸν θεὸν τετυχήκει δεδομένος
peace if indeed for to the god had-happened given
ὅρκος, ἦν ἂν ὡς εἰκὸς παριδεῖν ἐνδιδόντας τῇ
an-oath it-was(-possible) — as likely to-overlook yielding to-the
τοῦ θεοῦ φιλανθρωπίᾳ τὴν ἐπὶ τῇ ἀσεβείᾳ συγγνώμην·
of-the god humanity the for the impiety pardon

51.2 ἐπεὶ δὲ κατὰ τῆς τοῦ βασιλέως ὠμωμόκεσαν κεφαλῆς,
since and by the of-the emperor they-had-sworn head
οὐκ εἶναι θεμιτὸν αὐτοῖς εἰς τὸν τοσοῦτον ὅρκον
not to-be lawful for-them against the so-great oath
ἐξαμαρτεῖν. τοσοῦτον ἐτύφλωττεν ὁ νοῦς τῶν τότε
to-transgress so-much was-blind the mind of-the(-ones) then
τὴν πολιτείαν οἰκονομούντων, θεοῦ προνοίας ἐστερημένων.
the state managing of-god's providence deprived

XVI · ATTALUS, THE PUPPET EMPEROR

Alaric marches on Rome, seizes the harbor, and makes the senate proclaim Attalus emperor. In Britain the armies raise Marcus, Gratian, and then Constantine, who crosses to Gaul; Stilicho's general Sarus kills two of his generals and besieges him at Valentia, then withdraws. Constantine sends his son Constans to take Spain; Gerontius rebels, and Britain and Armorica throw off Roman rule. Attalus refuses to send a barbarian force to Libya, and Heraclianus holds Africa for Honorius and starves Rome. Honorius offers to share the empire, but troops arrive from the east, and Jovius, Attalus' prefect, goes over to Honorius. Alaric abandons the siege of Ravenna, fails before Bononia, and strips Attalus of the purple at Ariminum, keeping Placidia as a hostage. As he moves on Ravenna to make peace, Ataulf attacks Sarus in Picenum, and Sarus resolves to join Honorius against Alaric; the text breaks off.

Ἀλλάριχος μὲν οὖν ἐπὶ ταῖς οὕτω μετρίαις αἰτήσεσι 1.1
Alaric indeed then at the so moderate requests
περιυβρισθεὶς ἐπὶ τὴν Ῥώμην ἤλαυνε πανστρατιᾷ, τῇ
insulted to — Rome marched with-the-whole-army to-the
κατ᾽ αὐτῆς πολιορκίᾳ προσκαρτερήσων. ἐν τούτῳ δὲ παρὰ
against it siege going-to-persevere in this and from
Κωνσταντίνου τοῦ τυραννήσαντος ἐν Κελτοῖς ἀφίκετο
Constantine the(-one) having-usurped among Celts came
πρὸς Ὀνώριον κατὰ πρεσβείαν Ἰόβιος, παιδείᾳ καὶ ταῖς
to Honorius on embassy Jovius in-learning and in-the
ἄλλαις ἀρεταῖς διαπρέπων, βεβαιωθῆναι τὴν πρότερον
other virtues excelling to-be-confirmed the before
ὁμολογηθεῖσαν εἰρήνην, καὶ ἅμα συγγνώμην ἕνεκα
agreed peace and at-once pardon for-the-sake-of
τῆς ἀναιρέσεως Διδύμου καὶ Βερηνιανοῦ τῶν συγγενῶν
the killing of-Didymus and of-Verenianus the kinsmen

Ὀνωρίου τοῦ βασιλέως αἰτῶν· ἀπελογεῖτο γὰρ λέγων ὡς
of-Honorius the emperor asking he-pleaded for saying that
οὐ κατὰ προαίρεσιν ἀνῄρηνται Κωνσταντίνου.
not by choice they-have-been-killed of-Constantine
1.2 συντεταραγμένον δὲ τὸν Ὀνώριον θεασάμενος, εὔλογον
thrown-into-confusion and — Honorius having-seen reasonable
ἔφασκεν εἶναι ταῖς περὶ τὴν Ἰταλίαν ἐνασχολουμένῳ
said to-be the about — Italy to(-him)-being-occupied
φροντίσιν ἐνδοῦναι· συγχωρούμενος δὲ πρὸς Κωνσταντῖνον
cares to-yield being-allowed and to Constantine
ἐκδημῆσαι καὶ τὰ συνέχοντα τὴν Ἰταλίαν ἀγγεῖλαι,
to-go-abroad and the(-troubles) besetting — Italy to-report
μετ᾽ οὐ πολὺ καὶ αὐτὸν ἄξειν ἅμα παντὶ τῷ ἐν Κελτοῖς
after not much also him to-lead with all the among Celts
καὶ ἐν Ἰβηρίᾳ καὶ ἐν τῇ Βρεττανικῇ νήσῳ στρατεύματι, ταῖς
and in Iberia and in the British island army to-the
κατὰ τὴν Ἰταλίαν καὶ τὴν Ῥώμην βοηθήσοντα περιστάσεσιν.
in — Italy and — Rome going-to-help circumstances
καὶ ὁ μὲν Ἰόβιος ἐπὶ τούτοις ἀναχωρεῖν ἐπετράπη· τὰ
and — indeed Jovius on these to-withdraw was-permitted the(-affairs)
δὲ ἐν Κελτοῖς οὔπω τῆς προσηκούσης ἀφηγήσεως
and among Celts not-yet of-the fitting narration
ἀξιωθέντα δίκαιον ἄνωθεν, ὡς ἕκαστα ἐπράχθη, διεξελθεῖν.
deemed-worthy just from-above as each-thing was-done to-go-through
2.1 Ἔτι βασιλεύοντος Ἀρκαδίου, καὶ ὑπάτων ὄντων Ὀνωρίου
still reigning Arcadius and consuls being Honorius
τὸ ζ′ καὶ Θεοδοσίου τὸ β′, οἱ ἐν τῇ Βρεττανίᾳ
the seventh and Theodosius the second the in — Britain
στρατευόμενοι στασιάσαντες ἀνάγουσι Μάρκον ἐπὶ τὸν
serving having-revolted lead-up Marcus to the
βασίλειον θρόνον, καὶ ὡς κρατοῦντι τῶν αὐτόθι πραγμάτων
royal throne and as ruling the there affairs

ἐπείθοντο. ἀνελόντες δὲ τοῦτον ὡς οὐχ ὁμολογοῦντα τοῖς
obeyed(-him) having-killed and this-one as not agreeing with-the
αὐτῶν ἤθεσιν, ἄγουσι Γρατιανὸν εἰς μέσον, καὶ ἁλουργίδα
their ways they-lead Gratian into midst and purple
καὶ στέφανον ἐπιθέντες ἐδορυφόρουν ὡς βασιλέα.
and crown having-put-on(-him) guarded(-him) as emperor
δυσαρεστήσαντες δὲ καὶ τούτῳ τέτταρσιν ὕστερον μησὶ 2.2
having-been-displeased and also with-this-one four later months
παραλύσαντες ἀναιροῦσι, Κωνσταντίνῳ παραδόντες τὴν
having-removed(-him) they-kill to-Constantine having-handed-over the
βασιλείαν. ὃ δὲ Ἰουστινιανὸν καὶ Νεβιογάστην ἄρχειν
rule he and Justinianus and Nebiogastes to-command
τῶν ἐν Κελτοῖς τάξας στρατιωτῶν ἐπεραιώθη, τὴν
the among Celts having-appointed soldiers crossed —
Βρεττανίαν καταλιπών· ἐλθὼν δὲ εἰς Βονωνίαν (πρώτη
Britain having-left having-come and to Bononia first
δὲ αὕτη πρὸς θαλάττῃ κεῖται, Γερμανίας οὖσα πόλις
and this by sea lies of-Germany being city
τῆς κάτω) καὶ ἐν ταύτῃ διατρίψας ἡμέρας τινάς, πάντα
the lower and in this having-spent days some all
τε οἰκειωσάμενος τὰ στρατεύματα μέχρι τῶν Ἄλπεων
and having-won-over the armies up-to the Alps
ὄντα τῶν ὁριζουσῶν Γαλατίαν καὶ Ἰταλίαν, ἀσφαλῶς
being the(-ones) bounding Gaul and Italy securely
ἔχεσθαι τῆς βασιλείας ἐδόκει.
to-hold of-the rule he-seemed
κατὰ δὲ τούτους τοὺς χρόνους Σάρον τὸν στρατηγὸν 2.3
at and these the times Sarus the general
ἐκπέμπει μετὰ στρατεύματος κατὰ Κωνσταντίνου
sends-out with army against Constantine
Στελίχων. ὃ δὲ Ἰουστινιανῷ τῷ στρατηγῷ μετὰ τῆς
Stilicho he and with-Justinianus the general with the

σὺν αὐτῷ δυνάμεως ἀπαντήσας αὐτόν τε ἀναιρεῖ καὶ
with him force having-met him both kills and
τῶν στρατιωτῶν τὴν πλείονα μοῖραν· καὶ λείας πολλῆς
of-the soldiers the greater part and of-booty much
γενόμενος κύριος, ἐπειδὴ Κωνσταντῖνον αὐτὸν ἔγνω
having-become master since Constantine himself he-learned
πόλιν καταλαβόντα Βαλεντίαν, ἀρκοῦσαν αὐτῷ πρὸς
a-city having-occupied Valentia sufficing for-him for
ἀσφάλειαν, εἰς πολιορκίαν κατέστησε.
safety into siege he-put(-him)

2.4 Νεβιογάστου δὲ τοῦ λειπομένου στρατηγοῦ λόγους τῷ
Nebiogastes and the remaining general words —
Σάρῳ περὶ φιλίας προσάγοντος ἐδέχετο μὲν ὡς φίλον τὸν
to-Sarus about friendship bringing he-received indeed as friend the
ἄνδρα, δοὺς δὲ καὶ λαβὼν ὅρκους ἀναιρεῖ παραχρῆμα,
man having-given and and having-taken oaths kills(-him) immediately
μηδένα τῶν ὅρκων ποιησάμενος λόγον. Κωνσταντίνου
no of-the oaths having-made account Constantine
δὲ στρατηγὸν καταστήσαντος Ἐδόβιχον, Φράγγον ὄντα
and general having-appointed Edobichus a-Frank being
τὸ γένος, Γερόντιόν τε ἀπὸ τῆς Βρεττανίας ὁρμώμενον,
by-the race Gerontius and from — Britain coming
δείσας ὁ Σάρος τὴν τῶν στρατηγῶν τούτων περὶ
having-feared — Sarus the of-the generals these in
τὰ πολέμια πεῖραν ὁμοῦ καὶ ἀνδρείαν ἀνεχώρησε τῆς
the war(-arts) experience together and courage withdrew —
Βαλεντίας, ἑπτὰ πολιορκήσας ταύτην ἡμέρας.
from-Valentia seven having-besieged it days

2.5 καταδραμόντων δὲ αὐτοῦ τῶν Κωνσταντίνου στρατηγῶν
having-overrun and him the of-Constantine generals
μετὰ μεγίστης δυναστείας, σὺν πολλῷ διεσώθη πόνῳ,
with greatest power with much he-got-safely-through toil

τὴν λείαν ἅπασαν δωρησάμενος τοῖς περὶ τὰς Ἄλπεις
the booty all having-given to-the about the Alps
ἀπαντήσασιν αὐτῷ Βακαύδαις, ὅπως εὐρυχωρίας παρ᾽
having-met him Bacaudae so-that room from
αὐτῶν τύχῃ τῆς ἐπὶ τὴν Ἰταλίαν παρόδου.
them he-might-obtain of-the to — Italy passage
Σάρου τοιγαροῦν οὕτως εἰς τὴν Ἰταλίαν διασωθέντος, 2.6
Sarus accordingly thus into — Italy having-got-safely-through
συναγαγὼν ὁ Κωνσταντῖνος τὴν δύναμιν ἅπασαν ἔγνω
having-gathered — Constantine the force all resolved
φυλακὰς ἀρκούσας ἐγκαταστῆσαι ταῖς Ἄλπεσιν. ἦσαν δὲ
garrisons sufficient to-station in-the Alps were and
αὗται τρεῖς, αἱ τὰς ἐπὶ τὴν Ἰταλίαν ἀπὸ Κελτῶν
these three the(-ones) the to — Italy from Celts
κἀκεῖθεν ἐπέκεινα ὁδοὺς ἀποκλείουσαι, Κοττία Ποινίνα
and-thence beyond roads shutting-off Cottian Poenine
Μαριτίμα. ταῦτα δὲ δι᾽ αἰτίαν τοιάνδε τῆς εἰρημένης
Maritime these and because-of cause such of-the mentioned
μοι προνοίας ἠξίωσεν.
by-me provision he-deemed-worthy
ἐν τοῖς προλαβοῦσι χρόνοις, ἕκτον ἤδη τὴν ὕπατον ἔχοντος 3.1
in the preceding times sixth already the consular holding
ἀρχὴν Ἀρκαδίου καὶ Πρόβου, Βανδίλοι Συήβοις καὶ Ἀλανοῖς
office Arcadius and Probus Vandals with-Suebi and Alans
ἑαυτοὺς ἀναμίξαντες τούτους ὑπερβάντες τοὺς τόπους τοῖς
themselves having-mixed these having-crossed the places the
ὑπὲρ τὰς Ἄλπεις ἔθνεσιν ἐλυμήναντο, καὶ πολὺν ἐργασάμενοι
beyond the Alps peoples ravaged and great having-wrought
φόνον ἐπίφοβοι καὶ τοῖς ἐν Βρεττανίαις στρατοπέδοις
slaughter formidable also to-the in the-Britains armies
ἐγένοντο, συνηνάγκασαν δέ, δέει τοῦ μὴ κἀπὶ σφᾶς
became compelled and by-fear of-the lest also-against them

προελθεῖν, εἰς τὴν τῶν τυράννων ὁρμῆσαι χειροτονίαν,
they-should-advance into the of-the tyrants to-rush election
Μάρκου λέγω καὶ Γρατιανοῦ καὶ ἐπὶ τούτοις Κωνσταντίνου·
of-Marcus I-mean and of-Gratian and after these of-Constantine
3.2 πρὸς ὃν μάχης καρτερᾶς γενομένης ἐνίκων μὲν
against whom battle fierce having-taken-place conquered indeed
οἱ Ῥωμαῖοι, τὸ πολὺ τῶν βαρβάρων κατασφάξαντες
the Romans the great of-the barbarians having-slaughtered
μέρος, τοῖς δὲ φεύγουσιν οὐκ ἐπεξελθόντες (ἢ γὰρ
part the and fleeing not having-pursued or for
ἂν ἅπαντας πανωλεθρίᾳ διέφθειραν) ἐνέδωκαν
— all with-utter-destruction they-would-have-destroyed they-allowed
αὐτοῖς ἀνακτησαμένοις τὴν ἧτταν καὶ βαρβάρων πλῆθος
them having-recovered-from the defeat and of-barbarians multitude
συναγαγοῦσιν αὖθις ἀξιομάχοις γενέσθαι.
having-gathered again a-match-in-battle to-become
3.3 διὰ ταῦτα τοίνυν τούτοις τοῖς τόποις φύλακας
because-of these-things therefore in-these the places guards
ἐγκατέστησε Κωνσταντῖνος, ὡς ἂν μὴ τὴν εἰς Γαλατίαν
stationed Constantine so-that — not the into Gaul
ἀνειμένην ἔχοιεν πάροδον. ἐγκατέστησε δὲ καὶ τῷ
unguarded they-might-have passage he-stationed and also on-the
Ῥήνῳ πᾶσαν ἀσφάλειαν, ἐκ τῶν Ἰουλιανοῦ βασιλέως
Rhine all security from the of-Julian emperor
χρόνων ῥᾳθυμηθεῖσαν.
times neglected
4.1 Οὕτω τὰ κατὰ τὴν Γαλατίαν πᾶσαν οἰκονομήσας,
thus the(-affairs) in — Gaul all having-managed
Κώνσταντι τῷ πρεσβυτέρῳ τῶν παίδων τὸ τοῦ Καίσαρος
to-Constans the elder of-the sons the of-the Caesar
σχῆμα περιθεὶς ἐπὶ τὴν Ἰβηρίαν ἐκπέμπει, καὶ τῶν
dress having-put-on to — Iberia sends-out(-him) also of-the

αὐτόθι πάντων ἐθνῶν ἐγκρατὴς γενέσθαι βουλόμενος,
there all peoples master to-become wishing
ὥστε καὶ τὴν ἀρχὴν αὐξῆσαι καὶ ἅμα τὴν τῶν Ὀνωρίου
so-that both the rule to-increase and at-once the of-the of-Honorius
συγγενῶν αὐτόθι δυναστείαν ἐκκόψαι·
kinsmen there power to-cut-off
δέος γὰρ αὐτὸν εἰσῄει μή ποτε δύναμιν συναγαγόντες 4.2
fear for him entered lest ever force having-gathered
τῶν αὐτόθι στρατιωτῶν αὐτοὶ μὲν αὐτῷ διαβάντες
of-the there soldiers themselves indeed against-him having-crossed
τὴν Πυρήνην ἐπέλθοιεν, ἀπὸ δὲ τῆς Ἰταλίας ὁ βασιλεὺς
the Pyrenees might-attack from and — Italy the emperor
Ὀνώριος ἐπιπέμψας αὐτῷ τὰ στρατόπεδα τῆς
Honorius having-sent-against him the armies from-the
τυραννίδος, κύκλῳ πανταχόθεν περιλαβών, παραλύσειεν.
tyranny in-a-circle from-all-sides having-surrounded might-dissolve
ἐπὶ τούτοις ὁ Κώνστας εἰς τὴν Ἰβηρίαν διέβη, στρατηγὸν
on these — Constans into — Iberia crossed general
μὲν Τερέντιον ἔχων, Ἀπολινάριον δὲ τῆς αὐλῆς ὕπαρχον,
indeed Terentius having Apollinarius and of-the court prefect
τῶν δὲ ἐν τῇ αὐλῇ τάξεων.
of-the and in the court ranks
*** ἄρχοντάς τε πολιτικοὺς ἅμα καὶ στρατιωτικοὺς 4.3
(lacuna) officials both civil at-once and military
καταστήσας, ἄγει διὰ τούτων ἐκείνους οἳ γένει
having-appointed he-leads through these those who by-race
τῷ βασιλεῖ Θεοδοσίῳ προσήκοντες τὰ τῆς Ἰβηρίας
to-the emperor Theodosius related the — of-Iberia
συνετάραττον πράγματα, πρότερον μὲν πρὸς αὐτὸν
threw-into-confusion affairs before indeed against himself
Κώνσταντα διὰ τῶν ἐν τῇ Λυσιτανίᾳ στρατοπέδων
Constans through the in — Lusitania armies

ἀράμενοι πόλεμον, ἐπεὶ δὲ πλεονεκτεῖσθαι συνῄσθοντο,
having-raised war since and to-be-overreached they-perceived
πλῆθος οἰκετῶν καὶ γεωργῶν ἐπιστρατεύσαντες καὶ παρὰ
a-multitude of-slaves and farmers having-led-against(-him) and by
βραχὺ καταστήσαντες αὐτὸν εἰς μέγιστον κίνδυνον.
little having-put him into greatest danger

4.4 ἀλλὰ κἀνταῦθα τῆς ἐλπίδος διαμαρτόντες Κώνσταντι σὺν
but also-here of-the hope having-failed to-Constans with
ταῖς σφῶν γυναιξὶν ἦσαν ἐν φυλακῇ· ὅπερ ἀκηκοότες
the their wives they-were in custody which having-heard
οἱ τούτων ἀδελφοὶ Θεοδοσίωλός τε καὶ Λαγώδιος, ὃ
the of-these brothers Theodosiolus both and Lagodius the-one
μὲν εἰς τὴν Ἰταλίαν διέφυγεν, ὃ δὲ εἰς τὴν ἑῴαν
indeed into — Italy escaped the-other and into the east
διασωθεὶς ἀνεχώρησε.
having-got-safely withdrew

5.1 Ταῦτα κατὰ τὴν Ἰβηρίαν ὁ Κώνστας διαπραξάμενος
these-things in — Iberia — Constans having-accomplished
ἐπανῆλθε πρὸς τὸν πατέρα ἑαυτοῦ Κωνσταντῖνον,
returned to the father his-own Constantine
ἐπαγόμενος Βερηνιανὸν καὶ Δίδυμον, καταλιπὼν δὲ
bringing Verenianus and Didymus having-left and
αὐτόθι τὸν στρατηγὸν Γερόντιον, ἅμα τοῖς ἀπὸ
there the general Gerontius with the from
Γαλατίας στρατιώταις, φύλακα τῆς ἀπὸ Κελτῶν ἐπὶ τὴν
Gaul soldiers guard of-the from Celts to —
Ἰβηρίαν παρόδου, καίτοι γε τῶν ἐν Ἰβηρίᾳ στρατοπέδων
Iberia passage and-yet at-least the in Iberia armies
ἐμπιστευθῆναι κατὰ τὸ σύνηθες τὴν φυλακὴν αἰτησάντων,
to-be-entrusted according-to the custom the guard having-asked
καὶ μὴ ξένοις ἐπιτραπῆναι τὴν τῆς χώρας ἀσφάλειαν.
and not to-strangers to-be-entrusted the of-the country security

Βερηνιανὸς μὲν οὖν καὶ Δίδυμος ὡς Κωνσταντῖνον 5.2
Verenianus indeed then and Didymus to Constantine
ἀχθέντες ἀνῃρέθησαν παραχρῆμα, Κώνστας δὲ αὖθις ὑπὸ
having-been-brought were-killed immediately Constans and again by
τοῦ πατρὸς εἰς τὴν Ἰβηρίαν ἐκπέμπεται, Ἰοῦστον ἐπαγόμενος
the father into — Iberia is-sent-out Justus bringing
στρατηγόν. ἐφ' ᾧ Γερόντιος ἀχθόμενος, καὶ τοὺς αὐτόθι
general at which Gerontius being-aggrieved and the there
περιποιησάμενος στρατιώτας, ἐπανίστησι Κωνσταντίνῳ
having-won-over soldiers raises-up against-Constantine
τοὺς ἐν Κελτοῖς βαρβάρους. πρὸς οὓς οὐκ ἀντισχὼν ὁ
the among Celts barbarians against whom not having-held-out —
λοιπῶν ἐθνῶν τῶν νεμομένων τὴν πρὸς τὸν Πόντον
other peoples the(-ones) inhabiting the toward the Pontus
Σκυθικήν. ἔνδον δὲ τοῦ περιβόλου πλεῖστα ἐτύγχανεν
Scythia inside and the enclosure very-many happened-to-be
οἰκήματα, τὰ μὲν ἐκ σανίδων ἐγγλύφων καὶ ἡρμοσμένων
dwellings some indeed of planks carved and fitted

ἐς εὐπρέπειαν, τὰ δὲ ἐκ λόγων κεκαθαρμένων καὶ πρὸς
for comeliness others and of timbers cleaned and to
εὐθύτητα ἀπεξεσμένων, ἐμβεβλημένων δὲ ξύλοις κύκλους
straightness planed set-in and in-wood circles
ἀποτελοῦσιν· οἱ δὲ κύκλοι ἐκ τοῦ ἐδάφους ἀρχόμενοι ἐς
forming the and circles from the ground beginning to
ὕψος ἀνέβαινον μετρίως.
height rose moderately
ἐνταῦθα τῆς Ἀττίλα ἐνδιαιτωμένης γαμετῆς, διὰ τῶν πρὸς 311
there the of-Attila living wife through the at
τῇ θύρᾳ βαρβάρων ἔτυχον ἐσόδου, καὶ αὐτὴν ἐπὶ στρώματος
the door barbarians I-obtained entrance and her on covering
μαλακοῦ κειμένην κατέλαβον, τοῖς ἐκ τῆς ἐρέας πιλωτοῖς
soft lying I-found with-the of the wool felts
τοῦ ἐδάφους σκεπομένου, ὥστε ἐπ᾽ αὐτῶν βαδίζειν. περιεῖπε
the floor being-covered so-that on them to-walk attended
δὲ αὐτὴν θεραπόντων πλῆθος κύκλῳ· καὶ θεράπαιναι ἐπὶ
and her of-servants multitude in-a-circle and maidservants on
τοῦ ἐδάφους ἀντικρὺ αὐτῆς καθήμεναι ὀθόνας χρώμασι
the floor opposite her sitting linens with-colors
διεποίκιλλον, ἐπιβληθησομένας πρὸς κόσμον ἐσθημάτων
were-embroidering going-to-be-put-over for adornment of-garments
βαρβαρικῶν. προσελθὼν τοίνυν καὶ τὰ δῶρα μετὰ τὸν
barbarian having-approached therefore and the gifts after the
ἀσπασμὸν δοὺς ὑπεξήειν, καὶ ἐπὶ τὰ ἕτερα ἐβάδιζον
greeting having-given I-went-out and to the other I-walked
οἰκήματα, ἐν οἷς διατρίβειν τὸν Ἀττίλαν ἐτύγχανεν,
dwellings in which to-stay — Attila happened
ἀπεκδεχόμενος ὁπότε ἐπεξέλθοι Ὀνηγήσιος· ἤδη γὰρ ἀπὸ
waiting-for when should-come-out Onegesius already for from
τῶν αὐτοῦ οἰκημάτων ἐξεληλύθει καὶ ἔνδον ἦν. μεταξὺ δὲ
the his dwellings he-had-come-out and inside was in-the-midst and

τοῦ παντὸς ἱστάμενος πλήθους· γνώριμός τε γὰρ ὢν τοῖς
of-the whole standing multitude known both for being to-the
Ἀττίλα φρουροῖς καὶ τοῖς παρεπομένοις αὐτῷ βαρβάροις
of-Attila guards and to-the following him barbarians
ὑπ᾽ οὐδενὸς διεκωλυόμην· εἶδον πλῆθος πορευόμενον καὶ
by no-one was-hindered I-saw multitude going and
θροῦν καὶ θόρυβον περὶ τὸν τόπον γιγνόμενον, ὡς τοῦ
murmur and uproar about the place arising as —
Ἀττίλα ὑπεξιόντος. προῄει δὲ τοῦ οἰκήματος βαδίζων
Attila coming-out came-forth and from-the dwelling walking
σοβαρῶς, τῇδε κἀκεῖ περιβλεπόμενος. ὡς δὲ ὑπεξελθὼν
haughtily here and-there looking-around when and having-come-out
σὺν τῷ Ὀνηγησίῳ ἔστη πρὸ τοῦ οἰκήματος· πολλοὶ δὲ
with — Onegesius he-stood before the dwelling many and
τῶν ἀμφισβητήσεις πρὸς ἀλλήλους ἐχόντων προσῄεσαν
of-the(-ones) disputes with one-another having approached
καὶ τὴν αὐτοῦ κρίσιν ἐδέχοντο· εἶτα ἐπανῄει ὡς τὸ οἴκημα,
and the his judgment received then he-went-back into the dwelling
καὶ πρέσβεις παρ᾽ αὐτὸν ἥκοντας βαρβάρους ἐδέχετο.
and envoys to him come barbarian received

IV · THE FEAST OF ATTILA

Romulus tells Priscus that Attila is unappeasable and dreams of conquering Persia. Onegesius asks which consular will be sent, and Attila names Nomus, Anatolius, or Senator. At the banquet Attila drinks to each guest and eats from a wooden plate while his guests eat from silver; poets sing his victories, and the jester Zercon sets all laughing except Attila, who draws his youngest son Ernas to him by the cheek.

Ἐμοὶ δὲ ἀπεκδεχομένῳ τὸν Ὀνηγήσιον Ῥωμύλος καὶ 311
to-me and awaiting — Onegesius Romulus and
Προμοῦτος καὶ Ῥωμανὸς οἱ ἐξ Ἰταλίας ἐλθόντες παρὰ
Promotus and Romanus the from Italy having-come to
τὸν Ἀττίλαν πρέσβεις τῶν φιαλῶν ἕνεκα τῶν χρυσῶν,
— Attila envoys of-the bowls for-the-sake-of the golden
συμπαρόντος αὐτοῖς καὶ Ῥουστικίου τοῦ κατὰ
being-present-with them also Rusticius the(-one) in-the-service-of
Κωνστάντιον, καὶ Κωνσταντιόλου, ἀνδρὸς ἐκ τῆς
Constantius and Constantiolus a-man from the
Παιόνων χώρας τῆς ὑπὸ Ἀττίλᾳ ταττομένης, ἐς λόγους
of-Paeonians country the under Attila ranged into words
ἦλθον καὶ ἀνηρώτων πότερον διηφείθημεν ἢ ἐπιμένειν
came and asked whether we-had-been-dismissed or to-remain
ἀναγκαζόμεθα. καὶ ἐμοῦ φήσαντος ὡς τούτου χάριν
are-compelled and me having-said that of-this for-the-sake
πευσόμενος τοῦ Ὀνηγησίου τοῖς περιβόλοις προσκαρτερῶ,
going-to-learn — from-Onegesius at-the enclosures I-wait
καὶ ἀντερωτήσαντος εἰ αὐτοῖς ὁ Ἀττίλας ἥμερόν τι
and having-asked-in-return if to-them — Attila gentle something
καὶ πρᾷον περὶ πρεσβείας ἀπεκρίνατο, ἔλεγον μηδαμῶς
and mild about embassy had-answered they-said in-no-way
μετατρέπεσθαι τῆς γνώμης, ἀλλὰ πόλεμον καταγγέλλειν,
to-be-turned from-the purpose but war to-announce

εἰ μή γε αὐτῷ Σιλβανὸς ἢ τὰ ἐκπώματα πεμφθείη.
if not at-least to-him Silvanus or the cups should-be-sent
ἀποθαυμαζόντων δὲ ἡμῶν τῆς ἀπονοίας τὸν βάρβαρον,
marveling and us at-the madness the barbarian
ὑπολαβὼν ὁ Ῥωμύλος, πρεσβευτὴς ἀνὴρ καὶ πολλῶν
taking-up — Romulus envoy a-man and of-many
πραγμάτων ἔμπειρος, ἔλεγε τὴν αὐτοῦ μεγίστην τύχην καὶ
affairs experienced said the his greatest fortune and
τὴν ἐκ τῆς τύχης δύναμιν ἐξαίρειν αὐτόν, ὥστε μὴ ἀνέχεσθαι
the from the fortune power to-elate him so-that not to-endure
δικαίων λόγων, εἰ μὴ πρὸς αὐτοῦ νομίσῃ ὑπάρχειν αὐτούς.
just words if not on-the his(-side) he-should-think to-be them
οὐδενὶ γὰρ τῶν πώποτε τῆς Σκυθικῆς ἢ καὶ ἑτέρας
to-none for of-the(-ones) ever of-the Scythian or also of-other
ἀρξάντων γῆς τοσαῦτα ἐν ὀλίγῳ καταπεπρᾶχθαι, ὥστε
having-ruled land so-many-things in short(-time) to-have-been-accomplished so-that
καὶ τῶν ἐν τῷ Ὠκεανῷ νήσων ἄρχειν καὶ πρὸς πάσῃ τῇ
even the in the Ocean islands to-rule and besides all —
Σκυθικῇ καὶ Ῥωμαίους ἔχειν ἐς φόρου ἀπαγωγήν. ἐφιέμενον
Scythia also Romans to-have for of-tribute payment aiming
δὲ πρὸς τοῖς παροῦσι πλειόνων καὶ ἐπὶ μεῖζον αὔξοντα τὴν
and besides the present(-things) at-more and to greater increasing the
ἀρχὴν καὶ ἐς Πέρσας ἀπιέναι βούλεσθαι. τῶν δὲ ἐν
rule also to Persians to-go-away to-wish of-the(-ones) and among
ἡμῖν τινος πυθομένου ποίαν ὁδὸν τραπεὶς ἐς Πέρσας ἐλθεῖν
us someone having-asked what road having-turned to Persians to-come
δυνήσεται, ἔλεγεν ὁ Ῥωμύλος μὴ πολλῷ διαστήματι τὴν
he-will-be-able said — Romulus not by-great distance the
Μήδων ἀφεστάναι τῆς Σκυθικῆς, οὐδὲ Οὔννους ἀπείρους
of-Medes(-land) to-be-distant — from-Scythia nor Huns inexperienced
τῆς ὁδοῦ ταύτης εἶναι, ἀλλὰ πάλαι ἐς αὐτὴν ἐμβεβληκέναι,
of-the road this to-be but long-ago into it to-have-invaded

λιμοῦ τε τὴν χώραν κρατήσαντος καὶ Ῥωμαίων διὰ
famine both the country having-gripped and Romans because-of
τὸν τότε συνιστάμενον πόλεμον μὴ συμβαλλόντων.
the then being-formed war not engaging
παρεληλυθέναι δὲ ἐς τὴν Μήδων τόν τε Βασὶχ καὶ 312
to-have-gone and into the of-Medes(-land) — both Basich and
Κουρσὶχ τοὺς ὕστερον ἐς τὴν Ῥώμην ἐληλυθότας ἐς
Kursich the(-ones) later to — Rome having-come for
ὁμαιχμίαν, ἄνδρας τῶν βασιλείων Σκυθῶν καὶ πολλοῦ
alliance men of-the royal Scythians and of-great
πλήθους ἄρχοντας. καὶ τοὺς διαβεβηκότας λέγειν ὡς
multitude ruling and the(-ones) having-crossed to-say that
ἔρημον ἐπελθόντες χώραν καὶ λίμνην τινὰ περαιωθέντες,
desert having-come-upon country and lake some having-crossed
ἣν ὁ Ῥωμύλος τὴν Μαιῶτιν εἶναι ᾤετο, πεντεκαίδεκα
which — Romulus the Maeotis to-be thought fifteen
διαγενομένων ἡμερῶν ὄρη τινὰ ὑπερβάντες ἐς
having-passed days mountains some having-crossed-over into
τὴν Μηδικὴν ἐσέβαλον. ληιζομένοις δὲ καὶ τὴν γῆν
the Median(-land) they-invaded plundering and and the land
κατατρέχουσι πλῆθος Περσικὸν ἐπελθὸν τὸν σφῶν
overrunning multitude Persian having-come-upon the over-them
ὑπερκείμενον ἀέρα πλῆσαι βελῶν, ὥστε σφᾶς δέει
lying air to-fill with-missiles so-that them from-fear
τοῦ κατασχόντος κινδύνου ἀναχωρῆσαι ἐς τοὐπίσω καὶ
of-the having-seized(-them) danger to-withdraw to the-back and
τὰ ὄρη ὑπεξελθεῖν, ὀλίγην ἄγοντας λείαν· ἡ γὰρ
the mountains to-get-out-of little bringing booty the for
πλείστη ὑπὸ τῶν Μήδων ἀφῄρητο. εὐλαβουμένους
most by the Medes had-been-taken-away guarding-against
δὲ τὴν τῶν πολεμίων δίωξιν ἑτέραν τραπῆναι ὁδόν,
and the of-the enemies pursuit by-another to-turn road

καὶ μετὰ τὴν ἐκ τῆς ὑφάλου πέτρας ἀναφερομένην
and after the from the undersea rock rising
φλόγα ἐκεῖθεν πορευθέντας *** ἡμερῶν ὁδὸν ἐς τὰ
flame from-there having-traveled (lacuna) of-days road to the
οἰκεῖα ἀφικέσθαι, καὶ γνῶναι οὐ πολλῷ διαστήματι τὴν
own(-lands) to-arrive and to-learn not by-great distance the
Μήδων ἀφεστάναι τῆς Σκυθικῆς. τὸν οὖν Ἀττίλαν
of-Medes(-land) to-be-distant — from-Scythia — then Attila
ἐπ᾽ αὐτὴν ἰέναι βουλόμενον οὐ πονήσειν πολλὰ οὐδὲ
against it to-go wishing not to-toil much nor
μακρὰν ἀνύσειν ὁδόν, ὥστε καὶ Μήδους καὶ Πάρθους καὶ
long to-accomplish road so-that both Medes and Parthians and
Πέρσας παραστήσεσθαι καὶ ἀναγκάσειν ἐλθεῖν ἐς φόρου
Persians to-subdue and to-compel to-come into of-tribute
ἀπαγωγήν· παρεῖναι γὰρ αὐτῷ μάχιμον δύναμιν, ἣν οὐδὲν
payment to-be-at-hand for to-him fighting force which no
ἔθνος ὑποστήσεται. ἡμῶν δὲ κατὰ Περσῶν ἐλθεῖν αὐτὸν
people will-withstand us and against Persians to-go him
ἐπευξαμένων καὶ ἐπ᾽ ἐκείνους τρέψαι τὸν πόλεμον, ὁ
having-prayed and against those to-turn the war —
Κωνσταντίολος ἔλεγε δεδιέναι μήποτε καὶ Πέρσας ῥᾳδίως
Constantiolus said to-fear lest-ever also Persians easily
παραστησάμενος ἀντὶ φίλου δεσπότης ἐπανήξει. νῦν μὲν
having-subdued instead-of friend master he-will-return now indeed
γὰρ τὸ χρυσίον κομίζεσθαι παρ᾽ αὐτῶν τῆς ἀξίας ἕνεκα·
for the gold to-be-received from them of-the rank for-the-sake
εἰ δὲ καὶ Πάρθους καὶ Μήδους καὶ Πέρσας παραστήσοιτο,
if and both Parthians and Medes and Persians he-should-subdue
οὐκέτι Ῥωμαίων ἀνέξεσθαι τὴν αὐτοῦ νοσφιζομένων ἀρχήν,
no-longer of-Romans to-endure the his appropriating rule

ἀλλὰ θεράποντας περιφανῶς ἡγησάμενον χαλεπώτερα
but servants openly having-considered(-them) harsher
ἐπιτάξειν καὶ οὐκ ἀνεκτὰ ἐκείνοις ἐπιτάγματα.
to-impose and not endurable on-those commands
ἦν δὲ ἡ ἀξία, ἧς ὁ Κωνσταντίολος ἐπεμνήσθη, στρατηγοῦ 313
was and the rank of-which — Constantiolus made-mention of-general
Ῥωμαίων, ἧς χάριν ὁ Ἀττίλας παρὰ βασιλέως ἐδέδεκτο
of-Romans of-which for-the-sake — Attila from the-emperor had-received
τὸ τοῦ φόρου ἐπικαλύπτοντος ὄνομα, ὥστε αὐτῷ σιτηρεσίου
the of-the tribute concealing name so-that to-him of-ration
προφάσει τοῦ τοῖς στρατηγοῖς χορηγουμένου τὰς συντάξεις
on-pretext of-the to-the generals supplied the payments
ἐκπέμπεσθαι. ἔλεγεν οὖν μετὰ Μήδους καὶ Πάρθους καὶ
to-be-sent he-said then after Medes and Parthians and
Πέρσας τοῦτο τὸ ὄνομα, ὅπερ αὐτὸν βούλονται Ῥωμαῖοι
Persians this the name which him wish Romans
καλεῖν, καὶ τὴν ἀξίαν, ᾗ αὐτὸν τετιμηκέναι νομίζουσιν,
to-call and the rank with-which him to-have-honored they-think
ἀποσεισάμενον ἀναγκάσειν σφᾶς ἀντὶ στρατηγοῦ βασιλέα
having-shaken-off to-compel them instead-of general emperor
προσαγορεύειν. ἤδη γὰρ καὶ χαλεπαίνοντα εἰπεῖν ὡς
to-address already for also being-angry to-have-said that
ἐκείνῳ μὲν οἱ αὐτοῦ θεράποντές εἰσι στρατηγοί, αὐτῷ δὲ
to-that-man indeed the his servants are generals to-him and
οἱ τοῖς βασιλεύουσι Ῥωμαίων ὁμότιμοι. ἔσεσθαι δὲ οὐκ
the to-the(-ones) reigning of-Romans equal-in-honor to-be and not
ἐς μακρὰν τῆς παρούσης αὐτῷ δυνάμεως αὔξησιν· σημαίνειν
to long of-the present to-him power increase to-signify
καὶ τοῦτο τὸν θεὸν τὸ τοῦ Ἄρεος ἀναφήναντα ξίφος, ὅπερ
and this the god the — of-Ares having-revealed sword which
ὂν ἱερὸν καὶ παρὰ τῶν Σκυθικῶν βασιλέων τιμώμενον,
being sacred and by the Scythian kings honored

οἷα δὴ τῷ ἐφόρῳ τῶν πολέμων ἀνακείμενον, ἐν τοῖς
as indeed to-the overseer of-the wars dedicated in the
πάλαι ἀφανισθῆναι χρόνοις, εἶτα διὰ βοὸς εὑρεθῆναι.
old to-have-vanished times then through an-ox to-have-been-found
314 Καὶ ἑκάστου λέγειν τι περὶ τῶν καθεστώτων
and each to-say something about the(-things) established
βουλομένου, Ὀνηγησίου ὑπεξελθόντος, παρ' αὐτὸν ἤλθομεν,
wishing Onegesius having-come-out to him we-came
καὶ ἐπειρώμεθα περὶ τῶν ἐσπουδασμένων μανθάνειν.
and tried about the(-things) urged to-learn
ὁ δέ τισι πρότερον βαρβάροις διαλεχθεὶς πυθέσθαι
he and with-some first barbarians having-conversed to-learn
με παρὰ Μαξιμίνου ἐπέτρεπε τίνα Ῥωμαῖοι ἄνδρα τῶν
me from Maximinus bade what Romans man of-the
ὑπατικῶν παρὰ τὸν Ἀττίλαν πρεσβευόμενον στέλλουσιν. ὡς
consulars to — Attila going-as-envoy are-sending when
δὲ παρελθὼν ἐς τὴν σκηνὴν ἔφραζον ἅπερ εἴρητό μοι,
and having-gone into the tent I-told what had-been-said to-me
καὶ ὅ τι δεῖ λέγειν ὧν χάριν ὁ βάρβαρος ἡμῶν
and what ever it-is-needful to-say of-which for-the-sake the barbarian of-us
ἐπύθετο ἅμα τῷ Μαξιμίνῳ βουλευσάμενος ἐπανῆλθον
inquired together-with — Maximinus having-deliberated I-returned
ὡς τὸν Ὀνηγήσιον, λέγων ὡς ἐθέλουσι μὲν Ῥωμαῖοι αὐτὸν
to — Onegesius saying that wish indeed Romans him
παρὰ σφᾶς ἐλθόντα τῶν ἀμφιβόλων ἕνεκα διαλέγεσθαι,
to them having-come of-the disputed(-points) for-the-sake to-converse
εἰ δὲ τούτου διαμάρτοιεν, ἐκπέμψειν βασιλέα ὃν βούλεται
if and of-this they-should-fail to-send the-emperor whom he-wishes
πρεσβευσόμενον. καὶ εὐθὺς μετιέναι με τὸν Μαξιμῖνον
going-to-be-envoy and at-once to-fetch me — Maximinus
παρεκελεύσατο, καὶ ἥκοντα αὐτὸν ἦγε παρὰ τὸν Ἀττίλαν.
he-bade and having-come him he-led to — Attila

καὶ μικρὸν ὕστερον ὑπεξελθὼν ὁ Μαξιμῖνος ἔλεγεν
and a-little later having-come-out — Maximinus said
ἐθέλειν τὸν βάρβαρον Νόμον ἢ Ἀνατόλιον ἢ Σενάτωρα
to-wish the barbarian Nomus or Anatolius or Senator
πρεσβεύεσθαι· μὴ γὰρ ἂν ἄλλον παρὰ τοὺς εἰρημένους
to-be-envoy not for — another besides the(-ones) named
δέξασθαι. καὶ ὡς αὐτοῦ ἀποκριναμένου μὴ χρῆναι ἐπὶ
to-receive and when him having-answered not to-be-needful for
τὴν πρεσβείαν τοὺς ἄνδρας καλοῦντα ὑπόπτους καθιστᾶν
the embassy the men calling suspected to-make
βασιλεῖ, εἰρηκέναι τὸν Ἀττίλαν, εἰ μὴ ἔλοιντο
to-the-emperor to-have-said — Attila if not they-should-choose
ποιεῖν ἃ βούλεται, ὅπλοις τὰ ἀμφίβολα διακριθήσεσθαι.
to-do what he-wishes with-arms the disputed(-points) to-be-decided
ἐπανελθόντων δὲ ἡμῶν ἐς τὴν σκηνὴν ὁ τοῦ Ὀρέστου πατὴρ
having-returned and us into the tent the — of-Orestes father
ἦκε λέγων ὡς ἀμφοτέρους ὑμᾶς Ἀττίλας ἐπὶ τὸ συμπόσιον
came saying that both you Attila to the banquet
παρακαλεῖ· γενήσεσθαι δὲ αὐτὸ περὶ ἐνάτην τῆς
invites to-take-place and it about the-ninth(-hour) of-the
ἡμέρας. ὡς δὲ τὸν καιρὸν ἐφυλάξαμεν καὶ ἐπὶ τὸ δεῖπνον
day when and the time we-watched-for and to the dinner
κληθέντες παρεγενόμεθα ἡμεῖς τε καὶ οἱ ἀπὸ τῶν ἑσπερίων
having-been-called we-arrived we both and the from the western
Ῥωμαίων πρέσβεις, ἔστημεν ἐπὶ τοῦ οὐδοῦ ἀντία Ἀττίλα.
Romans envoys stood at the threshold facing Attila
καὶ κύλικα οἱ οἰνοχόοι κατὰ τὸ ἐπιχώριον ἐπέδοσαν 315
and cup the cupbearers according-to the native gave
ἔθος, ὡς καὶ ἡμᾶς πρὸ τῆς ἕδρας ἐπεύξασθαι. οὗ
custom so-that also we before the seating to-pray which
δὴ γενομένου, τῆς κύλικος ἀπογευσάμενοι ἐπὶ τοὺς
indeed having-happened of-the cup having-tasted to the

θρόνους ἤλθομεν, οὗ ἔδει καθεσθέντας δειπνεῖν.
seats we-came where it-was-necessary having-sat to-dine
πρὸς δὲ τοῖς τοίχοις τοῦ οἰκήματος πάντες ὑπῆρχον
by and the walls of-the dwelling all were
οἱ δίφροι ἐξ ἑκατέρας πλευρᾶς. ἐν μεσωτάτῳ δὲ
the chairs from either side in very-middle and
ἧστο ἐπὶ κλίνης ὁ Ἀττίλας, ἑτέρας ἐξόπισθεν κλίνης
sat on couch — Attila another behind couch
ὑπαρχούσης αὐτῷ, μεθ' ἣν βαθμοί τινες ἐπὶ τὴν αὐτοῦ
being to-him after which steps some to the his
ἀνῆγον εὐνήν, καλυπτομένην ὀθόναις καὶ ποικίλοις
led-up bed covered with-linens and with-embroidered
παραπετάσμασι κόσμου χάριν, καθάπερ ἐπὶ τῶν
hangings of-adornment for-the-sake-of as in-the-case-of the(-ones)
γαμούντων Ἕλληνές τε καὶ Ῥωμαῖοι κατασκευάζουσι.
marrying Greeks both and Romans prepare
καὶ πρώτην μὲν ἐνόμιζον τῶν δειπνούντων τάξιν τὴν
and first indeed they-held of-the diners rank the(-one)
ἐν δεξιᾷ τοῦ Ἀττίλα, δευτέραν δὲ τὴν εὐώνυμον, ἐν
on the-right — of-Attila second and the left in
ᾗ ἐτυγχάνομεν ὄντες, προκαθεσθέντος ἡμῶν Βερίχου,
which we-happened being having-been-seated-before us Berichus
παρὰ Σκύθαις εὖ γεγονότος ἀνδρός. ὁ γὰρ Ὀνηγήσιος
among Scythians well born man — for Onegesius
ἐπὶ δίφρου ἧστο ἐν δεξιᾷ τῆς τοῦ βασιλέως κλίνης.
on chair sat on the-right of-the of-the king couch
ἀντικρὺ δὲ τοῦ Ὀνηγησίου ἐπὶ δίφρου ἐκαθέζοντο δύο
opposite and — Onegesius on chair sat two
τῶν Ἀττίλα παίδων· ὁ γὰρ πρεσβύτερος ἐπὶ τῆς ἐκείνου
of-the of-Attila sons the for elder on the that-one's
ἧστο κλίνης, οὐκ ἐγγύς, ἀλλ' ἐπ' ἄκρου, αἰδοῖ
sat couch not near but at the-edge from-reverence

τοῦ πατρὸς βλέπων ἐς γῆν. πάντων δὲ ἐν κόσμῳ
of-the father looking to ground all and in order
καθεστώτων, παρελθὼν οἰνοχόος τῷ Ἀττίλᾳ οἴνου
settled having-come-forward cupbearer — to-Attila of-wine
κισσύβιον ἐπιδίδωσι. δεξάμενος δὲ τὸν τῇ τάξει πρῶτον
ivy-cup hands having-received and the(-one) in-the rank first
ἠσπάζετο. ὁ δὲ τῷ ἀσπασμῷ τιμηθεὶς διανίστατο·
he-greeted he and with-the greeting honored stood-up
καὶ οὐ πρότερον ἱζῆσαι θέμις ἦν πρὶν ἢ τῷ οἰνοχόῳ
and not before to-sit-down lawful was before — to-the cupbearer
ἀπογευσάμενος ἢ καὶ ἐκπιὼν ἀπέδωκε τὸ κισσύβιον.
having-tasted or even having-drunk-off he-gave-back the ivy-cup
καθεσθέντα δὲ αὐτὸν τῷ τρόπῳ οἱ παρόντες
seated and him in-the manner the(-ones) present
ἐτίμων, δεχόμενοι τὰς κύλικας καὶ μετὰ τὸν ἀσπασμὸν
honored receiving the cups and after the greeting
ἀπογευόμενοι.
tasting
ἑκάστῳ δὲ εἷς οἰνοχόος παρῆν, ὃν ἔδει κατὰ 316
to-each and one cupbearer was-present whom it-was-necessary in
στοῖχον ἐσιέναι, τοῦ Ἀττίλα οἰνοχόου ὑπεξιόντος. τιμηθέντος
row to-come-in the of-Attila cupbearer going-out honored
δὲ καὶ τοῦ δευτέρου καὶ τῶν ἑξῆς, καὶ ἡμᾶς τοῖς
and also the second and the(-ones) next also us with-the
ἴσοις ὁ Ἀττίλας ἐδεξιώσατο κατὰ τὴν τῶν
equal(-honors) — Attila greeted according-to the of-the
θάκων τάξιν. ᾧ δὴ ἀσπασμῷ πάντων τιμηθέντων,
seats rank with-which indeed greeting all having-been-honored
ὑπεξήεσαν μὲν οἱ οἰνοχόοι, τράπεζαι δὲ μετὰ τὴν τοῦ
went-out indeed the cupbearers tables and after the(-table) —
Ἀττίλα παρετίθεντο κατὰ τρεῖς καὶ τέτταρας ἄνδρας ἢ
of-Attila were-set-beside by three and four men or

καὶ πλείους· ὅθεν ἕκαστος οἷός τε ἦν τῶν τῇ μαγίδι
even more whence each able — was of-the(-things) on-the platter
ἐπιτιθεμένων μεταλαβεῖν μὴ ὑπεξιὼν τῆς τῶν θρόνων
placed to-partake not leaving the of-the seats
τάξεως. καὶ πρῶτος ἐσήει ὁ τοῦ Ἀττίλα ὑπηρέτης, κρεῶν
rank and first came-in the — of-Attila servant of-meats
πλήρη πίνακα φέρων, καὶ οἱ πᾶσι διακονούμενοι μετ᾽
full platter bearing and the(-ones) all serving after
αὐτὸν σῖτον καὶ ὄψα ταῖς τραπέζαις ἐπέθεσαν. ἀλλὰ
him bread and dishes on-the tables put but
τοῖς μὲν ἄλλοις βαρβάροις καὶ ἡμῖν πολυτελῆ δεῖπνα
for-the indeed other barbarians and for-us costly dinners
κατεσκεύαστο, κύκλοις ἐπικείμενα ἀργυροῖς· τῷ δὲ Ἀττίλᾳ
had-been-prepared on-dishes laid silver — and to-Attila
ἐπὶ τοῦ ξυλίνου πίνακος ἦν οὐδὲν πλέον κρεῶν. μέτριον
on the wooden platter was nothing more of-meats moderate
δὲ ἑαυτὸν καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἐδείκνυ. τοῖς γὰρ
and himself also in the other all-things he-showed to-the for
τῆς εὐωχίας ἀνδράσι κύλικες χρυσαῖ τε καὶ ἀργυραῖ
of-the feast men cups golden both and silver
ἐπεδίδοντο, τὸ δὲ αὐτοῦ ἔκπωμα ξύλινον ἦν. λιτὴ δὲ
were-given the and his cup wooden was plain and
αὐτῷ καὶ ἡ ἐσθὴς ἐτύγχανεν οὖσα, μηδὲν τῶν ἄλλων
to-him also the dress happened being nothing from-the others
πλὴν τοῦ καθαρὰ εἶναι διαφυλάττουσα· καὶ οὔτε τὸ
except the(-fact) clean to-be keeping-distinct and neither the
παρῃωρημένον αὐτῷ ξίφος οὔτε οἱ τῶν βαρβαρικῶν
hanging-at to-him sword nor the of-the barbarian
ὑποδημάτων δεσμοὶ οὔτε τοῦ ἵππου ὁ χαλινός, ὥσπερ
shoes fastenings nor of-the horse the bridle as
τῶν ἄλλων Σκυθῶν, χρυσῷ ἢ λίθοις ἤ τινι τῶν τιμίων
of-the other Scythians with-gold or stones or any of-the precious(-things)

ἐκοσμεῖτο. τῶν δὲ ὄψων τῶν ἐν τοῖς πρώτοις πίναξιν
was-adorned of-the and dishes the(-ones) on the first platters
ἐπιτεθέντων ἀναλωθέντων, πάντες διανέστημεν, καὶ οὐ
placed having-been-consumed all we-stood-up and not
πρότερον ἐπὶ τὸν δίφρον ἀναστὰς ἦλθε πρὶν ἢ κατὰ
before to the chair having-risen he-came before — according-to
τὴν προτέραν τάξιν ἕκαστος τὴν ἐπιδιδομένην αὐτῷ
the former rank each the given to-him
οἴνου πλήρη ἐξέπιε κύλικα, τὸν Ἀττίλαν σῶν εἶναι
of-wine full drank-off cup — Attila safe to-be
ἐπευξάμενος.
having-prayed
καὶ τοῦτον τιμηθέντος αὐτοῦ τὸν τρόπον ἐκαθέσθημεν, 317
and this having-been-honored him the manner we-sat-down
καὶ δεύτερος ἑκάστῃ τραπέζῃ ἐπετίθετο πίναξ ἕτερα
and second on-each table was-placed platter other
ἔχων ἐδώδιμα. ὡς δὲ καὶ αὐτοῦ οἱ πάντες μετέλαβον,
having foods when and also of-it the all partook
καὶ τῷ αὐτῷ ἐξαναστάντες τρόπῳ αὖθις ἐκπιόντες
and in-the same having-risen manner again having-drunk-off
ἐκαθέσθημεν. ἐπιγενομένης δὲ ἑσπέρας δᾳδες ἀνήφθησαν,
we-sat-down having-come-on and evening torches were-lit
δύο δὲ ἀντικρὺ τοῦ Ἀττίλα παρελθόντες βάρβαροι
two and opposite — Attila having-come-forward barbarians
ᾄσματα πεποιημένα ἔλεγον, νίκας αὐτοῦ καὶ τὰς κατὰ
songs composed recited victories his and the in
πόλεμον ᾄδοντες ἀρετάς· ἐς οὓς οἱ τῆς εὐωχίας
war singing virtues to whom the(-ones) of-the feast
ἀπέβλεπον, καὶ οἱ μὲν ἥδοντο τοῖς ποιήμασιν, οἱ
looked and some indeed were-delighted by-the poems others
δὲ τῶν πολέμων ἀναμιμνησκόμενοι διηγείροντο τοῖς
and the wars remembering were-roused in-the

φρονήμασιν, ἄλλοι δὲ ἐχώρουν ἐς δάκρυα, ὧν ὑπὸ
spirits others and went to tears of-whom by
τοῦ χρόνου ἠσθένει τὸ σῶμα καὶ ἡσυχάζειν ὁ θυμὸς
the time was-weak the body and to-be-quiet the spirit
ἠναγκάζετο. μετὰ δὲ τὰ ᾄσματα Σκύθης τις παρελθὼν
was-compelled after and the songs Scythian some having-come-forward
φρενοβλαβής, ἀλλόκοτα καὶ παράσημα καὶ οὐδὲν ὑγιὲς
deranged strange and spurious and nothing sound
φθεγγόμενος, ἐς γέλωτα πάντας παρεσκεύασε παρελθεῖν.
uttering into laughter all caused to-come-forward
μεθ' ὃν ὑπεσῆλθε Ζέρκων ὁ Μαυρούσιος· ὁ γὰρ
after whom came-in Zercon the Moor — for
Ἐδέκων αὐτὸν παρὰ τὸν Ἀττίλαν ἐλθεῖν παρέπεισεν,
Edeco him to — Attila to-come persuaded
ὡς τῇ ἐκείνου σπουδῇ τὴν γαμετὴν ἀπολῃψόμενον,
as by-the that-one's zeal the wife going-to-recover
ἣν κατὰ τὴν τῶν βαρβάρων εἰλήφει χώραν, τῷ
whom in the of-the barbarians had-taken country —
Βλήδᾳ περισπούδαστος ὤν. ἀπελελοίπει δὲ αὐτὴν ἐν
to-Bleda much-sought-after being he-had-left and her in
τῇ Σκυθικῇ παρὰ τοῦ Ἀττίλα δῶρον Ἀετίῳ πεμφθείς.
— Scythia by — Attila gift to-Aetius sent
ἀλλὰ τῆς μὲν τοιαύτης διήμαρτεν ἐλπίδος, τοῦ Ἀττίλα
but the indeed such he-failed-of hope — Attila
χαλεπήναντος, ὅτι γε δὴ ἐς τὴν αὐτοῦ ἐπανῆλθε.
being-angry that at-least indeed into the his(-land) he-had-returned
τότε δὲ διὰ τὸν τῆς εὐωχίας καιρὸν παρελθὼν
then and because-of the of-the feast occasion having-come-forward
τῷ τε εἴδει καὶ τοῖς ἐσθήμασι καὶ τῇ φωνῇ καὶ
by-the both appearance and by-the clothes and by-the voice and
τοῖς συγκεχυμένως παρ' αὐτοῦ προφερομένοις ῥήμασι·
by-the confusedly by him uttered words

τῇ γὰρ Αὐσονίων τὴν τῶν Οὔννων καὶ τὴν τῶν
to-the for of-Ausonians the of-the Huns and the of-the
Γότθων παραμιγνὺς γλῶτταν πάντας διέχεε καὶ ἐς
Goths mixing tongue all he-melted and into
ἄσβεστον ὁρμῆσαι γέλωτα παρεσκεύασε πλὴν Ἀττίλα·
unquenchable to-burst laughter caused except Attila
οὗτος γὰρ ἔμενεν ἀστεμφὴς καὶ τὸ εἶδος ἀμετάτρεπτος
he for remained unmoved and the countenance unchanged
καὶ οὐδὲν οὔτε λέγων οὔτε ποιῶν γέλωτος ἐχόμενον
and nothing neither saying nor doing of-laughter bordering-on
ἐφαίνετο, πλὴν ὅτι τὸν νεώτατον τῶν παίδων, Ἡρνᾶς
appeared except that the youngest of-the sons Ernas
δὲ ὄνομα τούτῳ, ἐσιόντα καὶ παρεστῶτα εἷλκε τῆς
and name to-him coming-in and standing-by he-drew by-the
παρειᾶς, γαληνοῖς ἀποβλέπων ὄμμασι πρὸς αὐτόν. ἐμοῦ
cheek with-calm looking eyes toward him me
δὲ θαυμάζοντος ὅπως τῶν μὲν ἄλλων παίδων ὀλιγωροίη,
and wondering how the indeed other sons he-should-slight
πρὸς δὲ ἐκεῖνον ἔχοι τὸν νοῦν, ὁ παρακαθήμενος
toward and that-one should-have the mind the sitting-beside(-me)
βάρβαρος, συνιεὶς τῆς Αὐσονίων φωνῆς καὶ τῶν παρ᾽
barbarian understanding the of-Ausonians tongue and of-the from
αὐτοῦ μοι ῥηθησομένων μηδὲν ἐκλέγειν προειπών,
him to-me going-to-be-said nothing to-divulge having-first-told(-me)
ἔφασκε τοὺς μάντεις τῷ Ἀττίλᾳ προηγορευκέναι τὸ μὲν
said the seers — to-Attila to-have-foretold the indeed
αὐτοῦ πεσεῖσθαι γένος, ὑπὸ δὲ τοῦ παιδὸς ἀναστήσεσθαι
his to-fall family by and the son to-be-restored
τούτου. ὡς δὲ ἐν τῷ συμποσίῳ εἷλκον τὴν νύκτα,
this when and in the banquet they-drew-out the night

ὑπεξήλθομεν, ἐπὶ πολὺ μὴ βουληθέντες τῷ πότῳ
we-went-out for long not having-wished to-the drinking
προσκαρτερεῖν.
to-persevere

V · THE RETURN, AND THE PLOT REVEALED

Onegesius drafts Attila's letters with the help of Rusticius, a captive; for a ransom of five hundred gold pieces he releases the wife of Syllus, and her children are sent to the emperor as a gift. Queen Kreka's steward entertains the envoys. At a second banquet Attila demands that Constantius, Aetius' secretary, get the rich wife the emperor promised him. They depart with Berichus, who turns hostile on the road. Vigilas returns with the gold and is seized; when Attila threatens his son with the sword he confesses the plot against Attila, and Attila holds him until the boy brings fifty pounds of gold as ransom, and sends Orestes and Eslas to Constantinople.

318 Ἡμέρας δὲ γενομένης ἐπὶ τὸν Ὀνηγήσιον ἤλθομεν,
day and having-come to — Onegesius we-came
χρῆναι ἡμᾶς διαφεθῆναι λέγοντες καὶ μὴ τὴν ἄλλως
to-be-needful us to-be-dismissed saying and not the(-way) in-vain
τρίβειν τὸν χρόνον. καὶ ὃς ἔφη ἐθέλειν καὶ τὸν Ἀττίλαν
to-wear-away the time and he said to-wish also — Attila
ἀποπέμπειν ἡμᾶς. καὶ μικρὸν διαλιπὼν ἅμα τοῖς
to-send-away us and a-little having-waited together-with the
λογάσιν ἐβουλεύετο περὶ τῶν Ἀττίλᾳ δεδογμένων, καὶ τὰ
notables he-deliberated about the(-things) by-Attila resolved and the
βασιλεῖ ἀποδοθησόμενα συνέταττε γράμματα, ὑπογραφέων
to-the-emperor going-to-be-delivered composed letters secretaries
αὐτῷ παρόντων καὶ Ῥουστικίου, ἀνδρὸς ὁρμωμένου μὲν
with-him being-present and Rusticius a-man coming indeed
ἐκ τῆς ἄνω Μυσίας, ἁλόντος δὲ ἐν τῷ πολέμῳ, καὶ διὰ
from the upper Moesia captured and in the war and because-of

λόγων ἀρετὴν τῷ βαρβάρῳ ἐπὶ τῇ τῶν γραμμάτων
of-words excellence for-the barbarian over the of-the letters
διαπονουμένου συντάξει. ὡς δὲ ἐκ τῆς συνόδου διανέστη,
laboring composition when and from the meeting he-rose
ἐδεήθημεν αὐτοῦ περὶ λύσεως τῆς Σύλλου γαμετῆς καὶ
we-begged him about release of-the of-Syllus wife and
τῶν ἐκείνης παίδων, ἐν τῇ Ῥατιαρίας ἀνδραποδισθέντων
of-the her children in the of-Ratiaria enslaved
ἁλώσει. καὶ πρὸς μὲν τὴν αὐτῶν οὐκ ἀπηγόρευσε λύσιν,
capture and to indeed the their not he-refused release
ἐπὶ πολλοῖς δὲ σφᾶς ἐβούλετο χρήμασιν ἀπεμπολᾶν. ἡμῶν
for much and them wished money to-sell us
δὲ ἐλεεῖν αὐτοὺς τῆς τύχης ἱκετευσάντων, τὴν προτέραν
and to-pity them for-(their) fortune having-supplicated the former
εὐδαιμονίαν λογιζόμενον, διέβη τε πρὸς τὸν Ἀττίλαν,
prosperity considering he-crossed both to — Attila
καὶ τὴν μὲν γυναῖκα ἐπὶ πεντακοσίοις διαφῆκε χρυσοῖς,
and the indeed woman for five-hundred released gold(-pieces)
τοὺς δὲ παῖδας δῶρον ἔπεμπε βασιλεῖ. ἐν τούτῳ δὲ
the and children as-gift sent to-the-emperor in this and
καὶ ἡ Ῥέκαν ἡ τοῦ Ἀττίλα γαμετὴ παρὰ Ἀδάμει τῶν
also — Rekan the — of-Attila wife at Adamis' of-the
αὐτῆς πραγμάτων τὴν ἐπιτροπὴν ἔχοντι δειπνεῖν ἡμᾶς
her affairs the management having to-dine us
παρεκάλει. καὶ παρ' αὐτὸν ἐλθόντες ἅμα τισὶ τῶν
invited and to him having-come together-with some of-the
ἐκ τοῦ ἔθνους λογάδων φιλοφροσύνης ἐτύχομεν. ἐδεξιοῦτο
from the people notables of-kindness we-obtained he-welcomed
δὲ ἡμᾶς μειλιχίοις τε λόγοις καὶ τῇ τῶν ἐδωδίμων
and us with-gentle both words and with-the of-the foods
παρασκευῇ. καὶ ἕκαστος τῶν παρόντων Σκυθικῇ
preparation and each of-the(-ones) present with-Scythian

φιλοτιμίᾳ κύλικα ἡμῖν πλήρη διανιστάμενος ἐδίδου, καὶ
munificence cup to-us full standing-up gave and
τὸν ἐκπιόντα περιβαλὼν καὶ φιλήσας ταύτην ἐδέχετο.
the(-one) having-drunk-off having-embraced and having-kissed it received
319 μετὰ δὲ τὸ δεῖπνον ἐπὶ τὴν σκηνὴν ἐλθόντες ἐς ὕπνον
after and the dinner to the tent having-come into sleep
ἐτράπημεν. τῇ δὲ ὑστεραίᾳ ἐπὶ συμπόσιον αὖθις ἡμᾶς
we-turned on-the and next-day to banquet again us
Ἀττίλας ἐκάλει, καὶ τῷ προτέρῳ τρόπῳ παρά τε αὐτὸν
Attila invited and in-the former manner to both him
ἐσήλθομεν καὶ ἐς τὴν εὐωχίαν ἐτράπημεν. συνέβαινε δὲ ἐπὶ
we-went-in and to the feast we-turned it-happened and on
τῆς κλίνης ἅμα αὐτῷ μὴ τὸν πρεσβύτερον τῶν παίδων
the couch together-with him not the elder of-the sons
ἧσθαι, ἀλλὰ γὰρ Ὠηβάρσιον, θεῖον αὐτῷ τυγχάνοντα
to-sit but for Oebarsius uncle to-him being
πρὸς πατρός. παρὰ πᾶν δὲ τὸ συμπόσιον λόγοις
on-the-side-of father throughout all and the banquet with-words
φιλοφρονούμενος φράζειν ἡμᾶς βασιλεῖ παρεκελεύετο τῷ
showing-kindness to-tell us to-the-emperor he-bade —
Κωνσταντίῳ, ὃς αὐτῷ παρὰ Ἀετίου ἀπέσταλτο ὑπογραφέως
to-Constantius who to-him from Aetius had-been-sent of-secretary
χάριν, διδόναι ἣν αὐτῷ γυναῖκα ὑπέσχετο. παρὰ γὰρ τὸν
for-the-sake to-give whom to-him wife he-had-promised to for the
βασιλέα Θεοδόσιον ἅμα τοῖς σταλεῖσι παρὰ τοῦ Ἀττίλα
emperor Theodosius together-with the sent from — Attila
πρέσβεσιν ἀφικόμενος ὁ Κωνστάντιος τὴν εἰρήνην Ῥωμαίοις
envoys having-come — Constantius the peace for-Romans
καὶ Σκύθαις ἔφησεν ἐπὶ μακρὸν φυλάττεσθαι χρόνον
and Scythians said for long to-be-kept time
παρασκευάσειν, ἂν αὐτῷ γυναῖκα εὔπορον δοίη. καὶ
to-arrange if to-him wife rich he-should-give and

πρὸς τοῦτο ἐπένευσε βασιλεύς, καὶ Σατορνίλου περιουσίᾳ
to this nodded-assent the-emperor and of-Saturninus with-wealth
καὶ γένει κοσμουμένου θυγατέρα εἰρήκει δώσειν. τὸν δὲ
and family adorned daughter had-said to-give — and
Σατορνίλον ἀνῃρήκει Ἀθηναΐς ἣ καὶ Εὐδοκία· ἀμφοτέροις
Saturninus had-killed Athenais who also Eudocia by-both
γὰρ ἐκαλεῖτο τοῖς ὀνόμασιν. ἐς ἔργον δὲ τὴν αὐτοῦ οὐ
for was-called the names into effect and the his not
συνεχώρησεν ἀχθῆναι ὑπόσχεσιν Ζήνων, ὑπατικὸς ἀνὴρ καὶ
allowed to-be-brought promise Zeno consular man and
πολλὴν ἀμφ᾽ αὑτὸν ἔχων Ἰσαύρων δύναμιν, μεθ᾽ ἧς καὶ
great about himself having of-Isaurians force with which also
τὴν Κωνσταντίνου κατὰ τὸν τοῦ πολέμου καιρὸν φυλάττειν
the of-Constantine(-city) in the of-the war time to-guard
ἐπετέτραπτο. τότε δὴ τῶν ἐν τῇ ἕῳ στρατιωτικῶν
he-had-been-entrusted then indeed of-the in the east military
ἄρχων ταγμάτων ὑπεξάγει τοῦ φρουρίου τὴν κόρην,
commanding units leads-out of-the fortress the girl
καὶ Ῥούφῳ τινί, ἑνὶ τῶν ἐπιτηδείων, κατεγγυᾷ. ταύτης
and to-Rufus some one of-the friends betroths her
δὲ ἀφῃρημένης, ὁ Κωνστάντιος ἐδεῖτο τοῦ βαρβάρου
and having-been-taken-away — Constantius begged the barbarian
ἐνυβρισμένον αὐτὸν μὴ περιορᾶσθαι, ἀλλὰ ἢ τὴν
insulted him not to-be-overlooked but either the(-one)
ἀφαιρεθεῖσαν ἢ καὶ ἄλλην αὐτῷ δίδοσθαι γαμετὴν φερνὴν
taken-away or even another to-him to-be-given wife dowry
ἐσοίσουσαν. παρὰ τὸν τοῦ δείπνου τοίνυν καιρὸν ὁ βάρβαρος
going-to-bring during the of-the dinner therefore occasion the barbarian
λέγειν τῷ βασιλεύοντι τὸν Μαξιμῖνον ἐκέλευε μὴ χρῆναι
to-say to-the reigning(-emperor) — Maximinus bade not to-be-needful
τῆς ἐξ αὐτοῦ τὸν Κωνστάντιον ἐλπίδος διαμαρτεῖν· οὔτε
of-the from him — Constantius hope to-fail nor

γὰρ βασιλεῖ τὸ ψεύδεσθαι ∗∗∗ ταῦτα δὲ ὁ Ἀττίλας
for for-an-emperor the to-lie (lacuna) these-things and — Attila
ἐνετέλλετο, ὑποσχομένου Κωνσταντίου χρήματα δώσειν, εἰ
enjoined having-promised Constantius money to-give if
τῶν ζαπλούτων αὐτῷ παρὰ Ῥωμαίοις κατεγγυηθείη γυνή.
of-the very-rich to-him among Romans should-be-betrothed woman
320 Τοῦ δὲ συμποσίου ὑπεξελθόντες μετὰ τὴν νύκτα ἡμερῶν
the and banquet having-left after the night days
διαγενομένων τριῶν διηφείθημεν δώροις τοῖς προσήκουσι
having-passed three we-were-dismissed with-gifts the befitting
τιμηθέντες· ἔπεμπε δὲ ὁ Ἀττίλας καὶ Βέριχον τὸν ἡμῶν
honored sent and — Attila also Berichus the(-man) us
ἐν τῷ συμποσίῳ προκαθεσθέντα, ἄνδρα τῶν λογάδων καὶ
in the banquet having-sat-above a-man of-the notables and
πολλῶν ἐν τῇ Σκυθικῇ κωμῶν ἄρχοντα, παρὰ βασιλέα
many in — Scythia villages ruling to the-emperor
πρεσβευσόμενον, ἄλλως τε καὶ αὐτόν, οἷα δὴ
going-to-be-envoy for-other-reasons both and him as indeed
πρέσβιν, παρὰ Ῥωμαίων δέξασθαι. ποιουμένων δὲ ἡμῶν
envoy from Romans to-receive making and us
τὴν πορείαν καὶ πρὸς κώμῃ καταλυσάντων τινί, ἥλω
the journey and at village having-lodged some was-caught
Σκύθης ἀνὴρ κατασκοπῆς ἕνεκα ἐκ τῆς Ῥωμαίων
Scythian man of-spying for-the-sake-of from the of-Romans
ἐς τὴν βάρβαρον διαβεβηκὼς χώραν· καὶ αὐτὸν Ἀττίλας
into the barbarian having-crossed country and him Attila
ἀνασκολοπισθῆναι παρεκελεύσατο. τῇ δὲ ἐπιούσῃ δι᾽
to-be-impaled ordered on-the and following(-day) through
ἑτέρων κωμῶν πορευομένων ἡμῶν, ἄνδρες δύο τῶν
other villages traveling us men two of-the(-ones)
παρὰ Σκύθαις δουλευόντων ἤγοντο ὀπίσω τὼ χεῖρε
among Scythians being-slaves were-led behind the hands

δεδεμένω, ὡς τοὺς κατὰ πόλεμον ἀνελόντες δεσπότας·
bound as the in war having-killed masters
καὶ ἐπὶ ξύλων δύο κεραίας ἐχόντων ἀμφοῖν τὰς κεφαλὰς
and on timbers two horns having of-both the heads
ἐμβαλόντες ἀνεσταύρωσαν. ἐφ' ὅσον δὲ τὴν Σκυθικὴν
having-put they-crucified as far and — Scythia
διεξήειμεν, ὁ Βέριχος ἐκοινώνει τε ἡμῖν τῆς ὁδοῦ καὶ
we-were-passing-through — Berichus shared both with-us the road and
ἥσυχός τις καὶ ἐπιτήδειος ἐνομίζετο. ὡς δὲ τὸν Ἴστρον
quiet someone and friendly was-thought when and the Ister
ἐπεραιώθημεν, ἐν ἐχθροῦ ἡμῖν ἐγένετο μοίρᾳ διά τινας
we-had-crossed in of-enemy to-us he-came part because-of some
ἑώλους προφάσεις ἐκ τῶν θεραπόντων συνενεχθείσας. καὶ
stale pretexts from the servants brought-together and
πρότερον μὲν τὸν ἵππον ἀφείλετο, ᾧ τὸν Μαξιμῖνον
first indeed the horse he-took-away with-which — Maximinus
δωρησάμενος ἦν. ὁ γὰρ Ἀττίλας πάντας τοὺς ἀμφ'
having-presented was — for Attila all the about
αὐτὸν λογάδας παρεκελεύσατο δώροις τὸν Μαξιμῖνον
himself notables bade with-gifts — Maximinus
φιλοφρονήσασθαι, καὶ ἕκαστος ἐπεπόμφει ἵππον αὐτῷ,
to-show-kindness and each had-sent horse to-him
μεθ' ὧν καὶ ὁ Βέριχος. ὀλίγους δὲ λαβὼν τοὺς ἄλλους
with whom also — Berichus few and having-taken the others
ἀπέπεμπε, τὸ σῶφρον δηλῶσαι ἐκ τῆς μετριότητος
he-sent-back the prudence to-show from the moderation
ἐσπουδακώς. τοῦτον οὖν ἀφείλετο τὸν ἵππον, καὶ οὔτε
being-eager this then he-took-away the horse and neither
συνοδοιπορεῖν οὔτε συνεστιᾶσθαι ἠνέσχετο· ὥστε ἡμῖν ἐν τῇ
to-travel-with nor to-dine-with endured so-that to-us in the
βαρβάρων χώρᾳ γενομένου συμβόλου ἐς τοῦτο προελθεῖν.
of-barbarians country having-been-made compact to this to-come

321 καὶ ἐντεῦθεν διὰ τῆς Φιλίππου ἐπὶ τὴν Ἀδριανούπολιν τὴν
and from-there through the of-Philip(-city) to — Adrianople the
πορείαν ἐποιησάμεθα. ἐν ᾗ διαναπαυσάμενοι ἐς λόγους
journey we-made in which having-rested into words
ἤλθομεν τῷ Βερίχῳ, καὶ αὐτὸν τῆς πρὸς ἡμᾶς σιωπῆς
we-came — with-Berichus and him for-the toward us silence
κατεμεμψάμεθα, ὅτι γε δὴ ὀργίζεται οὐκ ἀδικοῦσιν
we-blamed that at-least indeed he-is-angry not wronging
οὐδέν. θεραπεύσαντες οὖν αὐτὸν καὶ ἐπὶ ἑστίασιν καλέσαντες
in-nothing having-courted then him and to feast having-invited
ἐξωρμήσαμεν. καὶ τῷ Βιγίλᾳ ἐν τῇ ὁδῷ ἀπαντήσαντες ἐπὶ
we-set-out and — Vigilas on the road having-met to
τὴν Σκυθικὴν ἐπαναζευγνύντι, καὶ τὰ παρὰ Ἀττίλα ἡμῖν
— Scythia returning and the(-things) from Attila to-us
τῆς ἐπὶ τῇ πρεσβείᾳ ἀποκρίσεως εἰρημένα ἀφηγησάμενοι,
of-the about the embassy answer said having-related
τῆς ἐπανόδου εἰχόμεθα. ὡς δὲ ἐς τὴν Κωνσταντίνου
to-the return we-held when and into the of-Constantine(-city)
παρεγενόμεθα, μεταβεβλῆσθαι μὲν ᾠόμεθα τὸν Βέριχον
we-arrived to-have-changed indeed we-thought — Berichus
τῆς ὀργῆς· ὃς δὲ τῆς ἀγρίας οὐκ ἐπελέληστο φύσεως,
from-the anger he and the savage not had-forgotten nature
ἀλλ᾽ ἐς διαφορὰς ἐχώρει, καὶ ἐν κατηγορίᾳ ἐποιεῖτο τὸν
but into quarrels went and in accusation made —
Μαξιμῖνον ὡς ἔφησεν ἐς τὴν Σκυθικὴν διαβὰς τὸν
Maximinus as he-had-said into — Scythia having-crossed —
Ἀρεόβινδον καὶ τὸν Ἄσπαρα, ἄνδρας στρατηγούς, μηδεμίαν
Areobindus and — Aspar men generals no
παρὰ βασιλεῖ ἔχειν μοῖραν, καὶ ὡς ἐν ὀλιγωρίᾳ τὰ κατ᾽
with the-emperor to-have share and as in contempt the(-things) of
αὐτοὺς ἐποιήσατο, τὴν βαρβαρικὴν ἐλέγξας κουφότητα.
them he-had-made the barbarian having-exposed levity

Ἀναζεύξαντα δὲ τὸν Βιγίλαν καὶ ἐν οἷς τὸν Ἀττίλαν τόποις 322
having-returned and — Vigilas and in which — Attila places
διατρίβειν συνέβαινεν ἀφικόμενον περιστάντες εἶχον οἱ πρὸς
to-stay it-happened having-arrived having-surrounded held the for
τοῦτο παρεσκευασμένοι βάρβαροι, καὶ τὰ χρήματα, ἅπερ
this prepared barbarians and the money which
τῷ Ἐδέκωνι ἐκόμιζεν, ἀφείλοντο. ὡς δὲ καὶ αὐτὸν παρὰ
— to-Edeco he-was-bringing took-away when and also him to
τὸν Ἀττίλαν ἦγον, καὶ ἀνηρωτᾶτο ὅτου χάριν τοσοῦτον
— Attila they-led and he-was-asked of-what for-the-sake-of so-much
φέροι χρυσίον, ἔφη οἰκείας τε καὶ τῶν παρεπομένων
he-carried gold he-said own both and of-the(-ones) following
προνοίας ἕνεκα, ὥστε μὴ ἐνδείᾳ τροφῶν ἢ ἵππων
provision for-the-sake so-that not by-want of-food or of-horses
σπάνει ἢ καὶ τῶν φορτηγῶν ὑποζυγίων ὑπὸ τῆς μακρᾶς
by-lack or also of-the burden-carrying beasts by the long
ἐκδαπανηθέντων ὁδοῦ διαμαρτεῖν τῆς περὶ τῆς πρεσβείας
having-been-used-up road to-fail-of the about the embassy
σπουδῆς· παρεσκευάσθαι δὲ αὐτῷ καὶ ἐς αἰχμαλώτων
zeal to-have-been-prepared and for-him also for of-captives
ὠνήν, πολλῶν κατὰ τὴν Ῥωμαίων δεηθέντων αὐτοῦ
purchase many in the of-Romans(-land) having-begged him
τοὺς σφίσι προσήκοντας λύσασθαι· καὶ ὁ Ἀττίλας "ἀλλ'
the(-ones) to-them belonging to-ransom and — Attila but
οὔτι," ἔφη, "σὺ πονηρὸν θηρίον," τὸν Βιγίλαν λέγων, "τὴν
not-at-all said you wicked beast — Vigilas meaning the
δίκην σοφιζόμενος λήσεις, οὐδὲ ἔσται σοι πρόφασις
justice evading-by-sophistry will-escape-notice nor will-be for-you pretext
ἱκανὴ ἐς τὸ τὴν κόλασιν διαφυγεῖν, μείζονος μὲν τῆς
sufficient for the the punishment to-escape greater indeed than-the
σῆς δαπάνης παρασκευῆς σοι χρημάτων ὑπαρχούσης, καὶ
your expense supply to-you of-money being and

τῶν ὑπὸ σοῦ ἵππων καὶ ὑποζυγίων ὠνηθησομένων, καὶ
of-the by you horses and beasts going-to-be-bought and
τῆς τῶν αἰχμαλώτων λύσεως, ἣν σὺν Μαξιμίνῳ παρ᾽ ἐμὲ
of-the of-the captives release which with Maximinus to me
ἀφικομένῳ ποιεῖν ἀπηγόρευσα.” ταῦτα εἰπὼν τὸν υἱόν·
having-come to-make I-forbade these-things having-said the son
ἦν δὲ καὶ τῷ Βιγίλᾳ τότε πρῶτον ἐς τὴν βαρβάρων
was and also — to-Vigilas then first into the of-barbarians
ἠκολουθηκὼς χώραν· ξίφει καταβληθῆναι παρεκελεύσατο,
having-followed country with-sword to-be-struck-down ordered
εἰ μὴ φθάσας εἴποι ὅτῳ τὰ χρήματα καὶ δι᾽ ἣν
if not first he-should-say to-whom the money and because-of what
αἰτίαν κομίζει. ὁ δὲ ὡς ἐθεάσατο τὸν παῖδα ἐπὶ θάνατον
cause he-brings he and when saw the boy to death
στείχοντα, ἐς δάκρυά τε καὶ ὀλοφυρμοὺς ἐτράπη, καὶ
going to tears both and laments turned and
ἀνεβόα τὴν δίκην ἐπ᾽ αὐτὸν φέρειν τὸ ξίφος, οὐκ ἐπὶ
cried-out the justice against him to-bear the sword not against
τὸν νέον τὸν ἀδικοῦντα οὐδέν. καὶ μηδὲν μελλήσας
the young-man the wronging in-nothing and not-at-all having-delayed
τά τε αὐτῷ καὶ Ἐδέκωνι καὶ τῷ εὐνούχῳ καὶ
the(-things) both by-him and Edeco and the eunuch and
τῷ βασιλεῖ μελετηθέντα ἔλεγε, συνεχῶς δὲ ἐς ἱκεσίαν
the emperor plotted he-told continually and to supplication
τρεπόμενος, ὥστε αὐτὸν μὲν ἀναιρεθῆναι, διαφεθῆναι δὲ
turning so-that him indeed to-be-killed to-be-released and
τὸν παῖδα. γνοὺς δὲ ὁ Ἀττίλας ἀπὸ τῶν Ἐδέκωνι
the boy having-learned and — Attila from the(-things) by-Edeco
εἰρημένων μηδὲν διεψεῦσθαι τὸν Βιγίλαν, ἐν δεσμοῖς εἶναι
said in-nothing to-have-lied — Vigilas in bonds to-be
προσέταττεν, οὐ πρότερον λύσειν ἀπειλήσας πρὶν ἢ τὸν
ordered not before to-release having-threatened before — the

παῖδα ἐκπέμψας ἑτέρας αὐτῷ πεντήκοντα χρυσίου λίτρας
boy having-sent another for-him fifty of-gold pounds
ὑπὲρ τῶν σφετέρων κομίσοι λύτρων. καὶ ὁ μὲν ἐδέδετο,
for the his-own should-bring ransom and he indeed was-bound
ὁ δὲ ἐς τὴν Ῥωμαίων ἐπανῄει. ἔπεμπε δὲ καὶ
the(-other) and to the of-Romans(-land) went-back sent and also
Ὀρέστην καὶ Ἥσλαν ὁ Ἀττίλας ἐς τὴν Κωνσταντίνου.
Orestes and Eslas — Attila to the of-Constantine(-city)